ᾗ κροτάλων τυπάνων τ' ἰαχὴ σύν τε βρόμος αὐλῶν
εὔαδεν, ἠδὲ λύκων κλαγγὴ χαροπῶν τε λεόντων,
οὔρεά τ' ἠχήεντα καὶ ὑλήεντες ἔναυλοι.
Καὶ σὺ μὲν οὕτω χαῖρε θεαί θ' ἅμα πᾶσαι ἀοιδῇ.

XII. *codices*: qui ad h. viii et R³ Titvlvs: *εἰς τὴν ἥραν p*: *εἰς ἥραν* cet. (*ἥρην* K) 1 *ἥραν* M R³ 4 *κυδνὴν* J (= *κεδνὴν* ss. *υ*)

XIII. *codices*: qui ad h. viii et R³ Titvlvs: *εἰς μητ΄ . . ρα θεῶν* (ss. *δή ραν*) M: *εἰς δήμητραν x* D H K ed. pr.: *εἰς δήμητρα* J: *εἰς τὴν δήμητραν καὶ περσεφόνην p*: (*περσεφόην* L²: *περσεφόνειαν* P) 1 *Μημήτηρ'* M: *δημήτηρ'* E K: *δημήτηρ'* (ss. *δη* deleted) T: *δημήτρ'* H J: *δημήτερ' p* D corr. ed. pr. *θεὰν* M: *θεὸν* cet. 2 *φερσεφόνειαν x p* D, cf. Dem. 493 3 *χαῖρε . . . πόλιν* = Call. Dem. 134 *σάω* Barnes, cf. *ρ* 595 Call. Epigr. 35 Alcman 45 *Μῶσ' ἄγε . . . ἄρχ' ἐρατῶν ἐπέων* Pind. Nem. iii. 10

XIV. *codices*: M, qui ad h. viii Titvlvs: *εἰς μητέρα θεῶν* M D Π ed. pr.: *εἰς μητέρα τῶν θεῶν* E T: *εἰς τὴν ῥέαν p*: *εἰς ῥέαν* H J, om. K 2 *ὑμνεῖ x* At D H 3 *κροτάλη p* *τυπάνων p* praeter Γ R²: *τυμπάνων* cet. (*τυπάνων* ss. *μ* L²): *τυπάνα* E marg., cf. Ap. Rhod. i. 1139 Anth. Pal. vi. 165. 5 *βρόμος p* M V², cf. h. Merc. 452: *τρόμος* cet. 6 *θ'* M: *δ'* cet. *ἀοιδῆς* E T

## XV. Εἰς Ἡρακλέα λεοντόθυμον

Ἡρακλέα Διὸς υἱὸν ἀείσομαι, ὃν μέγ' ἄριστον
γείνατ' ἐπιχθονίων Θήβῃς ἔνι καλλιχόροισιν
Ἀλκμήνη μιχθεῖσα κελαινεφέϊ Κρονίωνι·
ὃς πρὶν μὲν κατὰ γαῖαν ἀθέσφατον ἠδὲ θάλασσαν
πλαζόμενος πομπῇσιν ὕπ' Εὐρυσθῆος ἄνακτος
πολλὰ μὲν αὐτὸς ἔρεξεν ἀτάσθαλα, πολλὰ δ' ἀνέτλη·
νῦν δ' ἤδη κατὰ καλὸν ἕδος νιφόεντος Ὀλύμπου
ναίει τερπόμενος καὶ ἔχει καλλίσφυρον Ἥβην.
Χαῖρε ἄναξ Διὸς υἱέ· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

## XVI. Εἰς Ἀσκληπιόν

Ἰητῆρα νόσων Ἀσκληπιὸν ἄρχομ' ἀείδειν
υἱὸν Ἀπόλλωνος τὸν ἐγείνατο δῖα Κορωνὶς
Δωτίῳ ἐν πεδίῳ κούρη Φλεγύου βασιλῆος,
χάρμα μέγ' ἀνθρώποισι, κακῶν θελκτῆρ' ὀδυνάων.
Καὶ σὺ μὲν οὕτω χαῖρε ἄναξ· λίτομαι δέ σ' ἀοιδῇ.

## XVII. Εἰς Διοσκούρους

Κάστορα καὶ Πολυδεύκε' ἀείσεο Μοῦσα λίγεια,
Τυνδαρίδας οἳ Ζηνὸς Ὀλυμπίου ἐξεγένοντο·
τοὺς ὑπὸ Ταϋγέτου κορυφῆς τέκε πότνια Λήδη

XV. *codices*: qui ad h. viii Titvlvs: *εἰς ἡρακλέα λεοντόθυμον* *x* M D ed. pr.: *εἰς τὸν ἡρακλέα p*: *εἰς ἡρακλέα* H: *εἰς ἡρακλῆ* J, om. K 4 *ὃς ῥὰ ἠμὲν* M 5 *πλαζόμενος πημαίνετ'* (ss. *η*) *ἀεθλεύων κραταιῶς* M: *ἀεθλεύων δὲ κρ.* Ilgen 6 *ἔξοχα ἔργα* M: *πολλὰ δ' ἀνέτλη* cet.

XVI. *codices*: qui ad h. viii Titvlvs: *εἰς τὸν ἀσκληπιὸν p* M: *εἰς ἀσκληπιὸν* cet. om. K 1-3 cit. schol. Pind. Pyth. iii. 14 (*ἐν τοῖς Ὁμηρικοῖς ὕμνοις*) 2 *κορωνίς* om. M add. m. 2 3 *δωτίνω p* *φλεγύος* At D K N: *φλεγέος* H J: *φλεγύα* scholiasta Pindari 4 *κακὸν* H J *θελγηθρον ανε[ιῶν]* I. G. xiv. 2557

XVII. *codices*: qui ad h. viii Titvlvs: *εἰς τοὺς διοσκούρους* M: *εἰς διοσκούρους x* D ed. pr.: *εἰς κάστορα καὶ πολυδεύκη* H J *p* (sed haec quidem *πολυδεύκην*), om. K 1 *ἀείδεο* Steph. 3 *λήδα* $V^1$

λάθρῃ ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι.
Χαίρετε Τυνδαρίδαι, ταχέων ἐπιβήτορες ἵππων.

## XVIII. Εἰς Ἑρμῆν

Ἑρμῆν ἀείδω Κυλλήνιον Ἀργειφόντην
Κυλλήνης μεδέοντα καὶ Ἀρκαδίης πολυμήλου,
ἄγγελον ἀθανάτων ἐριούνιον ὃν τέκε Μαῖα
Ἄτλαντος θυγάτηρ Διὸς ἐν φιλότητι μιγεῖσα
αἰδοίη· μακάρων δὲ θεῶν ἀλέεινεν ὅμιλον
ἄντρῳ ναιετάουσα παλισκίῳ ἔνθα Κρονίων
νύμφῃ ἐϋπλοκάμῳ μισγέσκετο νυκτὸς ἀμολγῷ,
εὖτε κατὰ γλυκὺς ὕπνος ἔχοι λευκώλενον Ἥρην·
λάνθανε δ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους.
Καὶ σὺ μὲν οὕτω χαῖρε Διὸς καὶ Μαιάδος υἱέ·
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.
χαῖρ' Ἑρμῆ χαριδῶτα διάκτορε, δῶτορ ἐάων.

## XIX. Εἰς Πᾶνα

Ἀμφί μοι Ἑρμείαο φίλον γόνον ἔννεπε Μοῦσα,
αἰγιπόδην δικέρωτα φιλόκροτον ὅς τ' ἀνὰ πίση
δενδρήεντ' ἄμυδις φοιτᾷ χοροήθεσι νύμφαις
αἵ τε κατ' αἰγίλιπος πέτρης στείβουσι κάρηνα
Πᾶν' ἀνακεκλόμεναι νόμιον θεὸν ἀγλαέθειρον
αὐχμήενθ', ὃς πάντα λόφον νιφόεντα λέλογχε
καὶ κορυφὰς ὀρέων καὶ πετρήεντα κέλευθα.
φοιτᾷ δ' ἔνθα καὶ ἔνθα διὰ ῥωπήϊα πυκνά,
ἄλλοτε μὲν ῥείθροισιν ἐφελκόμενος μαλακοῖσιν,

5 ἐπιβήτορες] ἐπ' ἀμήτων M
XVIII. *codices*: qui ad h. viii TITVLVS: εἰς τὸν ἑρμῆν *p*: εἰς ἑρμῆν cet. om. K 2 πολυμήλου (ss. ης) M 4 in hoc versu expl. M 6 πολυσκίῳ J 8 ἔχει *p* H (οι ss.) 12 ἑάων Π P N corr. V[1]
XIX. *codices*: *x* praeter L[1] *p* praeter Mon. O TITVLVS: εἰς τὸν πᾶνα *p*: εἰς πᾶνα cet. 2 αἰγοπόδην codd. em. Hermann πίσση libri corr. Steph. 4 στείβουσαι E T 7 κάρηνα D Π ed. pr.: κέλευθα cet.

ἄλλοτε δ' αὖ πέτρῃσιν ἐν ἠλιβάτοισι διοιχνεῖ,
ἀκροτάτην κορυφὴν μηλοσκόπον εἰσαναβαίνων.
πολλάκι δ' ἀργινόεντα διέδραμεν οὔρεα μακρά,
πολλάκι δ' ἐν κνημοῖσι διήλασε θῆρας ἐναίρων
ὀξέα δερκόμενος· τότε δ' ἕσπερος ἔκλαγεν οἶον
ἄγρης ἐξανιών, δονάκων ὕπο μοῦσαν ἀθύρων
νήδυμον· οὐκ ἂν τόν γε παραδράμοι ἐν μελέεσσιν
ὄρνις ἥ τ' ἔαρος πολυανθέος ἐν πετάλοισι
θρῆνον ἐπιπροχέουσ' ἀχέει μελίγηρυν ἀοιδήν.
σὺν δέ σφιν τότε νύμφαι ὀρεστιάδες λιγύμολποι
φοιτῶσαι πυκνὰ ποσσὶν ἐπὶ κρήνῃ μελανύδρῳ
μέλπονται, κορυφὴν δὲ περιστένει οὔρεος ἠχώ·
δαίμων δ' ἔνθα καὶ ἔνθα χορῶν τοτὲ δ' ἐς μέσον ἕρπων
πυκνὰ ποσὶν διέπει, λαῖφος δ' ἐπὶ νῶτα δαφοινὸν
λυγκὸς ἔχει λιγυρῇσιν ἀγαλλόμενος φρένα μολπαῖς
ἐν μαλακῷ λειμῶνι τόθι κρόκος ἠδ' ὑάκινθος
εὐώδης θαλέθων καταμίσγεται ἄκριτα ποίῃ.
ὑμνεῦσιν δὲ θεοὺς μάκαρας καὶ μακρὸν Ὄλυμπον·
οἷόν θ' Ἑρμείην ἐριούνιον ἔξοχον ἄλλων
ἔννεπον ὡς ὅ γ' ἅπασι θεοῖς θοὸς ἄγγελός ἐστι
καί ῥ' ὅ γ' ἐς Ἀρκαδίην πολυπίδακα, μητέρα μήλων,
ἐξίκετ', ἔνθα τέ οἱ τέμενος Κυλληνίου ἐστίν.
ἔνθ' ὅ γε καὶ θεὸς ὢν ψαφαρότριχα μῆλ' ἐνόμευεν
ἀνδρὶ πάρα θνητῷ· θάλε γὰρ πόθος ὑγρὸς ἐπελθὼν
νύμφῃ ἐϋπλοκάμῳ Δρύοπος φιλότητι μιγῆναι·

11 *μηλόσκοπον* codd. em. Gemoll 12 *αἰγινόεντα* codd. em. Barnes 14 *τοτὲ* $V^1$ *οἶον* libri corr. Peppmüller (sc. *μόνον*, cf. Hes. Theog. 26, Aesch. Ag. 136, C. I. A. iii, p. i. 171 B v. 22 *ου μα[ν το]υδε χαριν σε τελεσφορε αιδομεν οιον*) 15 *ἄκρης* codd. (*ἄκρη* $V^1$) em. Pierson 18 *ἐπιπροχέουσα χέει* codd. em. Ilgen: *ἰαχεῖ* Ruhnken 20 *πύκα* Barnes 22 *τότε ἐς* codd. *δ'* add. Buttmann 24 *λυγγὸς p* 26 *θαλέθων p*: *θαλέων* cet. cf. Ap. Rh. ii. 843 *ποίην* libri corr. Hermann 29 *θεοῖς θεὸς* $V^1$ 31 *τε* Hermann: *δέ* codd. *κυλληνίον* ed. pr. 32 *ψαφερότριχα x* At D: *ψαφορότριχα* A Q 33 *θάλε* libri: *λάθε* Ruhnken

ἐκ δ' ἐτέλεσσε γάμον θαλερόν, τέκε δ' ἐν μεγάροισιν
Ἑρμείῃ φίλον υἱὸν ἄφαρ τερατωπὸν ἰδέσθαι,
αἰγιπόδην δικέρωτα πολύκροτον ἡδυγέλωτα·
φεῦγε δ' ἀναΐξασα, λίπεν δ' ἄρα παῖδα τιθήνη·
δεῖσε γὰρ ὡς ἴδεν ὄψιν ἀμείλιχον ἠϋγένειον.
τὸν δ' αἶψ' Ἑρμείας ἐριούνιος εἰς χέρα θῆκε
δεξάμενος, χαῖρεν δὲ νόῳ περιώσια δαίμων.
ῥίμφα δ' ἐς ἀθανάτων ἕδρας κίε παῖδα καλύψας
δέρμασιν ἐν πυκινοῖσιν ὀρεσκῴοιο λαγωοῦ·
πὰρ δὲ Ζηνὶ καθῖζε καὶ ἄλλοις ἀθανάτοισιν,
δεῖξε δὲ κοῦρον ἑόν· πάντες δ' ἄρα θυμὸν ἔτερφθεν
ἀθάνατοι, περίαλλα δ' ὁ Βάκχειος Διόνυσος·
Πᾶνα δέ μιν καλέεσκον ὅτι φρένα πᾶσιν ἔτερψε.
Καὶ σὺ μὲν οὕτω χαῖρε ἄναξ, ἵλαμαι δέ σ' ἀοιδῇ·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

## XX. Εἰς Ἥφαιστον

Ἥφαιστον κλυτόμητιν ἀείδεο Μοῦσα λίγεια,
ὃς μετ' Ἀθηναίης γλαυκώπιδος ἀγλαὰ ἔργα
ἀνθρώπους ἐδίδαξεν ἐπὶ χθονός, οἳ τὸ πάρος περ
ἄντροις ναιετάασκον ἐν οὔρεσιν ἠΰτε θῆρες.
νῦν δὲ δι' Ἥφαιστον κλυτοτέχνην ἔργα δαέντες
ῥηϊδίως αἰῶνα τελεσφόρον εἰς ἐνιαυτὸν
εὔκηλοι διάγουσιν ἐνὶ σφετέροισι δόμοισιν.
Ἀλλ' ἵληθ' Ἥφαιστε· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

38 ἀναίξας λεῖπεν libri corr. Martin 44 κάθιζε T V[1] 45 ἔτερφθον libri: -ον ss. ε Γ 48 ἵλαμαι Π marg.: λίσομαι (ss. ἵλα) Π: ἱλάσομαι E T: λίσσομαι D: λίσομαι cet.

XX. *codices*: qui h. xix et hymnos xxi–xxxiii continent Titvlvs: εἰς τὸν ἥφαιστον *p*: εἰς ἥφαιστον cet. 4 ναιετάεσκον B Γ 8 om. E T

## XXI. Εἰς Ἀπόλλωνα

Φοῖβε σὲ μὲν καὶ κύκνος ὑπὸ πτερύγων λίγ' ἀείδει
ὄχθῃ ἐπιθρῴσκων ποταμὸν πάρα δινήεντα
Πηνειόν· σὲ δ' ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν
ἡδυεπὴς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδει.
Καὶ σὺ μὲν οὕτω χαῖρε ἄναξ, ἵλαμαι δέ σ' ἀοιδῇ.

## XXII. Εἰς Ποσειδῶνα

Ἀμφὶ Ποσειδάωνα θεὸν μέγαν ἄρχομ' ἀείδειν
γαίης κινητῆρα καὶ ἀτρυγέτοιο θαλάσσης
πόντιον, ὅς θ' Ἑλικῶνα καὶ εὐρείας ἔχει Αἰγάς.
διχθά τοι Ἐννοσίγαιε θεοὶ τιμὴν ἐδάσαντο
ἵππων τε δμητῆρ' ἔμεναι σωτῆρά τε νηῶν.
Χαῖρε Ποσείδαον γαιήοχε κυανοχαῖτα,
καὶ μάκαρ εὐμενὲς ἦτορ ἔχων πλώουσιν ἄρηγε.

## XXIII. Εἰς Δία

Ζῆνα θεῶν τὸν ἄριστον ἀείσομαι ἠδὲ μέγιστον
εὐρύοπα κρείοντα τελεσφόρον, ὅς τε Θέμιστι
ἐγκλιδὸν ἑζομένῃ πυκινοὺς ὀάρους ὀαρίζει.
Ἵληθ' εὐρύοπα Κρονίδη κύδιστε μέγιστε.

## XXIV. Εἰς Ἑστίαν

Ἑστίη, ἥ τε ἄνακτος Ἀπόλλωνος ἑκάτοιο
Πυθοῖ ἐν ἠγαθέῃ ἱερὸν δόμον ἀμφιπολεύεις,
αἰεὶ σῶν πλοκάμων ἀπολείβεται ὑγρὸν ἔλαιον·

XXI. Titvlvs: *εἰς τὸν ἀπόλλωνα p*: *εἰς ἀπόλλωνα* cet. 1 *Φοῖφε* (ss. *β*) T 5 *ἵλασμαι* E T

XXII. Titvlvs: *εἰς τὸν ποσειδῶνα p*: *εἰς ποσειδῶνα* cet. 1 *θεῶν p* 3 cf. vit. Herod. 236 *αἶγας* libri corr. ed. pr.

XXIII. Titvlvs: *εἰς τὸν δία p*: *εἰς δία* ed. pr.: *εἰς ὕπατον κρονίδην x*: *εἰς ὕπατον κρονίδην ἢ δία* D 2 *θέμιτι* libri corr. Barnes, cf. O 87 π 403

XXIV. Titvlvs: *εἰς τὴν ἑστίαν p*: *εἰς ἑστίαν* cet. 3 *καὶ εἰ* Tucker

ἔρχεο τόνδ᾽ ἀνὰ οἶκον, ἐπέρχεο θυμὸν ἔχουσα
σὺν Διὶ μητιόεντι· χάριν δ᾽ ἅμ᾽ ὄπασσον ἀοιδῇ.

## XXV. Εἰς Μούσας καὶ Ἀπόλλωνα

Μουσάων ἄρχωμαι Ἀπόλλωνός τε Διός τε·
ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί,
ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ᾽ ὄλβιος ὅν τινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Χαίρετε τέκνα Διὸς καὶ ἐμὴν τιμήσατ᾽ ἀοιδήν·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ᾽ ἀοιδῆς.

## XXVI. Εἰς Διόνυσον

Κισσοκόμην Διόνυσον ἐρίβρομον ἄρχομ᾽ ἀείδειν
Ζηνὸς καὶ Σεμέλης ἐρικυδέος ἀγλαὸν υἱόν,
ὃν τρέφον ἠΰκομοι νύμφαι παρὰ πατρὸς ἄνακτος
δεξάμεναι κόλποισι καὶ ἐνδυκέως ἀτίταλλον
Νύσης ἐν γυάλοις· ὁ δ᾽ ἀέξετο πατρὸς ἕκητι
ἄντρῳ ἐν εὐώδει μεταρίθμιος ἀθανάτοισιν.
αὐτὰρ ἐπεὶ δὴ τόνδε θεαὶ πολύυμνον ἔθρεψαν,
δὴ τότε φοιτίζεσκε καθ᾽ ὑλήεντας ἐναύλους
κισσῷ καὶ δάφνῃ πεπυκασμένος· αἱ δ᾽ ἅμ᾽ ἕποντο
νύμφαι, ὁ δ᾽ ἐξηγεῖτο· βρόμος δ᾽ ἔχεν ἄσπετον ὕλην.
Καὶ σὺ μὲν οὕτω χαῖρε πολυστάφυλ᾽ ὦ Διόνυσε·
δὸς δ᾽ ἡμᾶς χαίροντας ἐς ὥρας αὖτις ἱκέσθαι,
ἐκ δ᾽ αὖθ᾽ ὡράων εἰς τοὺς πολλοὺς ἐνιαυτούς.

4 ἐν᾽ ἔρχεο Tucker cl. O 710. cf. et Ap. Rh. iv. 1030 5 om. E add. marg.
XXV. Titvlvs: εἰς μούσας ἀπόλλωνα καὶ δία p: εἰς μούσας καὶ ἀπόλλωνα cet. 1 ἄρχομαι libri em. Stephanus 2–5 = Hes. Theog. 94–7 2 ἐκ γάρ τοι Μουσέων schol. Pind. Pyth. iv. 313, Nem. iii. 1 3 χθόνα Hes. Theog. 95 5 φιλεῦνται codd. Hes. Theog. 97 plures
XXVI. Titvlvs: εἰς τὸν διόνυσον p: εἰς διόνυσον cet., om. T, add. aliquis 13 ὁράων E T

## XXVII. Εἰς Ἄρτεμιν

Ἄρτεμιν ἀείδω χρυσηλάκατον κελαδεινὴν
παρθένον αἰδοίην ἐλαφηβόλον ἰοχέαιραν
αὐτοκασιγνήτην χρυσαόρου Ἀπόλλωνος,
ἣ κατ' ὄρη σκιόεντα καὶ ἄκριας ἠνεμοέσσας
ἄγρῃ τερπομένη παγχρύσεα τόξα τιταίνει
πέμπουσα στονόεντα βέλη· τρομέει δὲ κάρηνα
ὑψηλῶν ὀρέων, ἰαχεῖ δ' ἔπι δάσκιος ὕλη
δεινὸν ὑπὸ κλαγγῆς θηρῶν, φρίσσει δέ τε γαῖα
πόντος τ' ἰχθυόεις· ἡ δ' ἄλκιμον ἦτορ ἔχουσα
πάντῃ ἐπιστρέφεται θηρῶν ὀλέκουσα γενέθλην.
αὐτὰρ ἐπὴν τερφθῇ θηροσκόπος ἰοχέαιρα
εὐφρήνῃ δὲ νόον χαλάσασ' εὐκαμπέα τόξα,
ἔρχεται ἐς μέγα δῶμα κασιγνήτοιο φίλοιο
Φοίβου Ἀπόλλωνος Δελφῶν ἐς πίονα δῆμον
Μουσῶν καὶ Χαρίτων καλὸν χορὸν ἀρτυνέουσα.
ἔνθα κατακρεμάσασα παλίντονα τόξα καὶ ἰοὺς
ἡγεῖται χαρίεντα περὶ χροῒ κόσμον ἔχουσα,
ἐξάρχουσα χορούς· αἱ δ' ἀμβροσίην ὄπ' ἰεῖσαι
ὑμνεῦσιν Λητὼ καλλίσφυρον ὡς τέκε παῖδας
ἀθανάτων βουλῇ τε καὶ ἔργμασιν ἔξοχ' ἀρίστους,
Χαίρετε τέκνα Διὸς καὶ Λητοῦς ἠϋκόμοιο·
αὐτὰρ ἐγὼν ὑμέων καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

## XXVIII. Εἰς Ἀθηνᾶν

Παλλάδ' Ἀθηναίην κυδρὴν θεὸν ἄρχομ' ἀείδειν
γλαυκῶπιν πολύμητιν ἀμείλιχον ἦτορ ἔχουσαν
παρθένον αἰδοίην ἐρυσίπτολιν ἀλκήεσσαν
Τριτογενῆ, τὴν αὐτὸς ἐγείνατο μητίετα Ζεὺς

XXVII. Titulus: εἰς τὴν ἄρτεμιν *p*: εἰς ἄρτεμιν cet. om. T
7 ἐπιδάσκιος libri corr. Hermann  8 δεινῆς Π  13 μετὰ κασιγνήτοιο *x*D, cf. Herm. 296  18 ἀμβροσίων Π  22 τε καὶ Barnes
XXVIII. Titulus: εἰς τὴν ἀθηνᾶν *p*: εἰς ἀθηνᾶν cet.

σεμνῆς ἐκ κεφαλῆς, πολεμήϊα τεύχε' ἔχουσαν
χρύσεα παμφανόωντα· σέβας δ' ἔχε πάντας ὁρῶντας
ἀθανάτους· ἡ δὲ πρόσθεν Διὸς αἰγιόχοιο
ἐσσυμένως ὤρουσεν ἀπ' ἀθανάτοιο καρήνου
σείσασ' ὀξὺν ἄκοντα· μέγας δ' ἐλελίζετ' Ὄλυμπος
δεινὸν ὑπὸ βρίμης γλαυκώπιδος, ἀμφὶ δὲ γαῖα
σμερδαλέον ἰάχησεν, ἐκινήθη δ' ἄρα πόντος
κύμασι πορφυρέοισι κυκώμενος, ἔσχετο δ' ἅλμη
ἐξαπίνης· στῆσεν δ' Ὑπερίονος ἀγλαὸς υἱὸς
ἵππους ὠκύποδας δηρὸν χρόνον εἰσότε κούρη
εἵλετ' ἀπ' ἀθανάτων ὤμων θεοείκελα τεύχη
Παλλὰς Ἀθηναίη· γήθησε δὲ μητίετα Ζεύς.
Καὶ σὺ μὲν οὕτω χαῖρε Διὸς τέκος αἰγιόχοιο·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

## XXIX. Εἰς Ἑστίαν

Ἑστίη ἣ πάντων ἐν δώμασιν ὑψηλοῖσιν
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων
ἕδρην ἀΐδιον ἔλαχες πρεσβηΐδα τιμὴν
καλὸν ἔχουσα γέρας καὶ τιμήν· οὐ γὰρ ἄτερ σοῦ
εἰλαπίναι θνητοῖσιν ἵν' οὐ πρώτῃ πυμάτῃ τε
Ἑστίῃ ἀρχόμενος σπένδει μελιηδέα οἶνον·
καὶ σύ μοι Ἀργειφόντα Διὸς καὶ Μαιάδος υἱὲ
ἄγγελε τῶν μακάρων χρυσόρραπι δῶτορ ἐάων,
ναίετε δώματα καλά, φίλα φρεσὶν ἀλλήλοισιν

ἵλαος ὢν ἐπάρηγε σὺν αἰδοίῃ τε φίλῃ τε
Ἑστίῃ· ἀμφότεροι γὰρ ἐπιχθονίων ἀνθρώπων
εἰδότες ἔργματα καλὰ νόῳ θ' ἕσπεσθε καὶ ἥβῃ.

10 ὑπ' ὀμβρίμης *x* D ed. pr.: ὑπ' ὀβρίμης cet. corr. Ruhnken 12 δ' N ed. pr.: θ' codd. 14 δειρὸν E T V¹ εἰς ὅ κε ed. pr., cf. ω 134
XXIX. Titulus: εἰς τὴν ἑστίαν *p*: εἰς ἑστίαν cet. 3 ἔλαχες *p*: ἔλαχε cet. 6 ἑστίη D Q: ἱστίη cet. 8 ἑάων codd. em. Steph. 9 lacunam statuimus: v. 9 post 11 transp. Martin, White 11 ἑστίη D: ἱστίη cet. 12 θ' ex τ' A, ss. Π: τ' cet.

Χαῖρε Κρόνου θύγατερ, σύ τε καὶ χρυσόρραπις Ἑρμῆς.
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

## XXX. Εἰς Γῆν μητέρα πάντων

Γαῖαν παμμήτειραν ἀείσομαι ἠϋθέμεθλον
πρεσβίστην, ἣ φέρβει ἐπὶ χθονὶ πάνθ' ὁπόσ' ἐστίν·
ἠμὲν ὅσα χθόνα δῖαν ἐπέρχεται ἠδ' ὅσα πόντον
ἠδ' ὅσα πωτῶνται, τάδε φέρβεται ἐκ σέθεν ὄλβου.
ἐκ σέο δ' εὔπαιδές τε καὶ εὔκαρποι τελέθουσι
πότνια, σεῦ δ' ἔχεται δοῦναι βίον ἠδ' ἀφελέσθαι
θνητοῖς ἀνθρώποισιν· ὁ δ' ὄλβιος ὅν κε σὺ θυμῷ
πρόφρων τιμήσῃς· τῷ τ' ἄφθονα πάντα πάρεστι.
βρίθει μέν σφιν ἄρουρα φερέσβιος, ἠδὲ κατ' ἀγροὺς
κτήνεσιν εὐθηνεῖ, οἶκος δ' ἐμπίπλαται ἐσθλῶν·
αὐτοὶ δ' εὐνομίῃσι πόλιν κάτα καλλιγύναικα
κοιρανέουσ', ὄλβος δὲ πολὺς καὶ πλοῦτος ὀπηδεῖ·
παῖδες δ' εὐφροσύνῃ νεοθηλέϊ κυδιόωσι,
παρθενικαί τε χοροῖς φερεσανθέσιν εὔφρονι θυμῷ
παίζουσαι σκαίρουσι κατ' ἄνθεα μαλθακὰ ποίης,
οὕς κε σὺ τιμήσῃς σεμνὴ θεὰ ἄφθονε δαῖμον.
Χαῖρε θεῶν μήτηρ, ἄλοχ' Οὐρανοῦ ἀστερόεντος,
πρόφρων δ' ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὄπαζε·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

## XXXI. Εἰς Ἥλιον

Ηλιον ὑμνεῖν αὖτε Διὸς τέκος ἄρχεο Μοῦσα
Καλλιόπη φαέθοντα, τὸν Εὐρυφάεσσα βοῶπις

XXX. Titvlvs: *εἰς γῆν μητέρα πάντων x* D ed. pr.: *εἰς τὴν γῆν p* (imaginem terrae add. A P Q, solis L²)  3 *ὑπέρχεται* D ed. pr.: *ἀπέρχεται* Π  8 *τιμήσεις* libri em. Franke  *περ* (*πέρ*) *ἐστι x* D L² N P: *πέρεστι* B: *πάρεστι* cet.  13 *ἢ πάντες* marg. E  14 *περεσανθέσιν x* D ed. pr.: *παρ' εὐανθέσιν p* V² corr. Ernesti  15 *παίζουσι χαίρουσι* libri (*παίζουσαι* Γ ss. ed. pr.) corr. Ruhnken  *μαλακὰ* codd. em. Stephanus  16 *κε*] *καὶ x* D  *τιμήσεις* codd. em. Franke
XXXI. Titvlvs: *εἰς τὸν ἥλιον p*: *εἰς ἥλιον* cet.  solis imaginem add. A P Q R¹ R²

γείνατο Γαίης παιδὶ καὶ Οὐρανοῦ ἀστερόεντος·
γῆμε γὰρ Εὐρυφάεσσαν ἀγακλειτὴν Ὑπερίων
αὐτοκασιγνήτην, ἥ οἱ τέκε κάλλιμα τέκνα
Ἠῶ τε ῥοδόπηχυν ἐϋπλόκαμόν τε Σελήνην
Ἠέλιόν τ' ἀκάμαντ' ἐπιείκελον ἀθανάτοισιν,
ὃς φαίνει θνητοῖσι καὶ ἀθανάτοισι θεοῖσιν
ἵπποις ἐμβεβαώς· σμερδνὸν δ' ὅ γε δέρκεται ὄσσοις
χρυσῆς ἐκ κόρυθος, λαμπραὶ δ' ἀκτῖνες ἀπ' αὐτοῦ
αἰγλῆεν στίλβουσι, παρὰ κροτάφων τε παρειαὶ
λαμπραὶ ἀπὸ κρατὸς χαρίεν κατέχουσι πρόσωπον
τηλαυγές· καλὸν δὲ περὶ χροῒ λάμπεται ἔσθος
λεπτουργὲς πνοιῇ ἀνέμων, ὑπὸ δ' ἄρσενες ἵπποι

ἔνθ' ἄρ' ὅ γε στήσας χρυσόζυγον ἅρμα καὶ ἵππους
θεσπέσιος πέμπῃσι δι' οὐρανοῦ ὠκεανὸν δέ.
Χαῖρε ἄναξ, πρόφρων δὲ βίον θυμήρε' ὄπαζε·
ἐκ σέο δ' ἀρξάμενος κλῄσω μερόπων γένος ἀνδρῶν
ἡμιθέων ὧν ἔργα θεοὶ θνητοῖσιν ἔδειξαν.

## XXXII. Εἰς Σελήνην

Μήνην ἀείδειν τανυσίπτερον ἔσπετε Μοῦσαι
ἡδυεπεῖς κοῦραι Κρονίδεω Διὸς ἵστορες ᾠδῆς·
ἧς ἄπο αἴγλη γαῖαν ἑλίσσεται οὐρανόδεικτος
κρατὸς ἀπ' ἀθανάτοιο, πολὺς δ' ὑπὸ κόσμος ὄρωρεν
αἴγλης λαμπούσης· στίλβει δέ τ' ἀλάμπετος ἀὴρ
χρυσέου ἀπὸ στεφάνου, ἀκτῖνες δ' ἐνδιάονται,
εὖτ' ἂν ἀπ' Ὠκεανοῖο λοεσσαμένη χρόα καλὸν
εἵματα ἑσσαμένη τηλαυγέα δῖα Σελήνη

4 ἀγακλυτὴν praeter D libri, cf. Π 463 al. 5 οἵη B Γ 10 χρυσέης Barnes 11 C. I. A. II. i. 703. vv. 10, 11 κρανιδιον . . . παρειας ουκ εχον, sim. 676, 701; χαλκοπαρῄου M 183 al. 14 lacunam stat. Hermann

XXXII. Titvlvs: εἰς τὴν σελήνην *p* E T: εἰς σελήνην cet. lunae imaginem habent A Q $R^1$ $R^2$, lunae phasium P 1 σελήνην Γ ἀείδει $R^1$: εὐειδῆ Bothe: ἀϊδίην Sikes ἕσπεται E: ἕσπετε cet. corr. Baumeister 4 κόσμον D E Π 5 δ' ἀλάμπετος libri corr. Barnes 6 χρυσοῦ *p* ἀκτῆρες *x* At D ed. pr.: ἀκτῖνες *p* ἐνδαίονται Roscher 8 ἥματα Γ N $V^1$ (ἧμ-)

ζευξαμένη πώλους ἐριαύχενας αἰγλήεντας
ἐσσυμένως προτέρωσ' ἐλάσῃ καλλίτριχας ἵππους
ἑσπερίη διχόμηνος· ὅ τε πλήθει μέγας ὄγμος,
λαμπρόταταί τ' αὐγαὶ τότ' ἀεξομένης τελέθουσιν
οὐρανόθεν· τέκμωρ δὲ βροτοῖς καὶ σῆμα τέτυκται.
τῇ ῥά ποτε Κρονίδης ἐμίγη φιλότητι καὶ εὐνῇ·
ἡ δ' ὑποκυσαμένη Πανδείην γείνατο κούρην
ἐκπρεπὲς εἶδος ἔχουσαν ἐν ἀθανάτοισι θεοῖσι.
  Χαῖρε ἄνασσα θεὰ λευκώλενε δῖα Σελήνη
πρόφρον ἐϋπλόκαμος· σέο δ' ἀρχόμενος κλέα φωτῶν
ᾄσομαι ἡμιθέων ὧν κλείουσ' ἔργματ' ἀοιδοὶ
Μουσάων θεράποντες ἀπὸ στομάτων ἐροέντων.

## XXXIII. Εἰς Διοσκούρους

  Ἀμφὶ Διὸς κούρους ἑλικώπιδες ἔσπετε Μοῦσαι
Τυνδαρίδας Λήδης καλλισφύρου ἀγλαὰ τέκνα,
Κάστορά θ' ἱππόδαμον καὶ ἀμώμητον Πολυδεύκεα,
τοὺς ὑπὸ Ταϋγέτου κορυφῇ ὄρεος μεγάλοιο
μιχθεῖσ' ἐν φιλότητι κελαινεφέϊ Κρονίωνι
σωτῆρας τέκε παῖδας ἐπιχθονίων ἀνθρώπων
ὠκυπόρων τε νεῶν, ὅτε τε σπέρχωσιν ἄελλαι
χειμέριαι κατὰ πόντον ἀμείλιχον· οἱ δ' ἀπὸ νηῶν
εὐχόμενοι καλέουσι Διὸς κούρους μεγάλοιο
ἄρνεσσιν λευκοῖσιν ἐπ' ἀκρωτήρια βάντες
πρύμνης· τὴν δ' ἄνεμός τε μέγας καὶ κῦμα θαλάσσης
θῆκαν ὑποβρυχίην, οἱ δ' ἐξαπίνης ἐφάνησαν
ξουθῇσι πτερύγεσσι δι' αἰθέρος ἀΐξαντες,
αὐτίκα δ' ἀργαλέων ἀνέμων κατέπαυσαν ἀέλλας,
κύματα δ' ἐστόρεσαν λευκῆς ἁλὸς ἐν πελάγεσσι,

11 *πλήθη p* praeter B C V[1]  12 *τελέθωσιν* libri corr. Baumeister 17 *λευκώλενος* T (corr. in *ε*): *λευκώλενες* E

XXXIII. Titvlvs: *εἰς διοσκούρους x* D ed. pr.: *εἰς κάστορα καὶ πολυδεύκην p*  1 *ἕσπετε* D N T V[1] ed. pr.  9 *διϝος κωροιν μεγαλοιο* I. G. III. i. 649 (s. vi a. C. n.)  11 *ἄνεμός τε καὶ* (ss. *με*) E: *με καὶ* Π T  14 *ἀέλλας* C Π: *ἀνέμους*, marg. *γρ. ἀέλλας* E T: *ἀέλλαι* cet.

ναύταις σήματα καλὰ πόνου σφίσιν· οἱ δὲ ἰδόντες
γήθησαν, παύσαντο δ' ὀϊζυροῖο πόνοιο.
 Χαίρετε Τυνδαρίδαι ταχέων ἐπιβήτορες ἵππων·
αὐτὰρ ἐγὼν ὑμέων καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

## Εἰς Ξένους

 Αἰδεῖσθε ξενίων κεχρημένον ἠδὲ δόμοιο
οἳ πόλιν αἰπεινὴν νύμφης ἐρατώπιδος Ἥρης
ναίετε, Σαιδήνης πόδα νείατον ὑψικόμοιο,
ἀμβρόσιον πίνοντες ὕδωρ ξανθοῦ ποταμοῖο
Ἕρμου καλὰ ῥέοντος ὃν ἀθάνατος τέκετο Ζεύς.

16 *σφίσιν*] *κρίσιν* Baumeister: *λύσιν* Abel: *σβέσιν* nos: *πόνου ἀπονόσφισιν* Bury om. *ναύταις*  ad calcem *δευρὶ πέλας λάχε τῶν ἐς δαίμονας ὕμνων ὁμήρου p* praeter V[1]

Poemation *εἰς ξένους* habent C D E Π T ed. pr.: exstat et in vita Herodotea c. ix  2 ita codd., *κύμην ἐριώπιδα κούρην* Herod. 3 *ναίετ' ἔς ᾄδην ἧς πόδα* codd.: *σαρδήνης* Herod.: *Σαιδηνή, ὄρος Κύμης* Steph. Byz.  4 *θείου* Herod.  5 *ἕβρου* codd.: *ἕρμου* Herod.: *Ἑρμοῦ πεδίον, τόπος πλησίον Κύμης, Ἔφορος ὀκτωκαιδεκάτη* ⟨fr. 131⟩ Steph. Byz.  *δινήεντος* Herod.  *τέλος τῶν ὕμνων ὁμήρου* E T: *τέλος τῶν ὁμήρου ὕμνων* Π

# II. CYCLVS

Cycli fragmenta collegerunt post Barnesium (t. iii. 98 sqq.) C. Gul. Müller *de Cyclo Graecorum Epico et poetis cyclicis* 1829, Fr. Dübner in ed. Homeri Didotiana a. 1833, Düntzer *Die Fragmente der epischen Poesie der Griechen bis zur Zeit Alexanders des Grossen* 1840, 1841, Welcker *Der epische Cyclus* ii. 495 sqq. a. 1849, G. Kinkel *Epicorum Graecorum Fragmenta* 1877. huiusce syllogae pauca accesserunt e libris papyraceis Herculanei semiustilatis, ubi fortasse et plura latent. invidit hucusque Aegyptus.

## PROCVLI CHRESTOMATHIAE QVAE AD HOMERVM PERTINENT

Chrestomathiam Proculi multo ante saeculum x in artius redactam omissis praecipue quae non ad bellum Troianum spectarent praefationi inservisse poematum Homericorum diu cognitum est: talem syllogen ad caput habuit cod. Venetus 454 vitam Homeri, Cypriorum, Aethiopidis, Parvae Iliados, Iliu persidos, Nostorum, Telegoniae enarrationes complexam: liber Scorialensis non ita multo post Venetum scriptus tantum vitam et Cypriorum paraphrasin habet, eadem codex Neapolitanus Taccone saeculi ut videtur xii, eadem etiam quattuor libri saec. xv qui et textum unum eundemque Iliadis praebent: scilicet B 766 *φηρίη* Ψ 244 *βλείωμαι* habent, quod de Monacensi affirmavit mihi vir humanissimus de Schoor: vitam solam plurimi continent. quo quidem fato evenerit ut inde a decimo saeculo e prolegomenis istis solae vita et Cypriorum enarratio propagatae sint maxime obscurum est, et alias erit inquirendum: interea Proculea quanta exstant duximus coniungenda esse.

*subsidia*

vita Proculi Suidea: Πρόκλος ὁ Λύκιος, μαθητὴς Συριανοῦ, ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου, τοῦ

*φιλοσόφου, καὶ αὐτὸς φιλόσοφος Πλατωνικός, οὗτος προέστη τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς· καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης. ἔγραψε πάνυ πολλά, φιλόσοφα καὶ γραμματικά. ὑπόμνημα εἰς ὅλον τὸν Ὅμηρον· ὑπόμνημα εἰς τὰ Ἡσιόδου Ἔργα καὶ Ἡμέρας· περὶ χρηστομαθίας βιβλία γ'· περὶ ἀγωγῆς β'· εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ'· εἰς τὴν Ὀρφέως θεολογίαν· συμφωνίαν Ὀρφέως Πυθαγόρου καὶ Πλάτωνος· περὶ τὰ λόγια βιβλία δ'· περὶ τῶν παρ' Ὁμήρῳ θεῶν· ἐπιχειρήματα κατὰ Χριστιανῶν ιη'. οὗτός ἐστι Πρόκλος ὁ δεύτερος μετὰ Πορφύριον κατὰ Χριστιανῶν τὴν μιαρὰν καὶ ἐφύβριστον αὐτοῦ γλῶσσαν κινήσας· πρὸς ὃν ἔγραψεν Ἰωάννης ὁ ἐπικληθεὶς φιλόπονος, πάνυ θαυμασίως ὑπαντήσας κατὰ τῶν ιη' ἐπιχειρημάτων αὐτοῦ, καὶ δείξας αὐτὸν κἀν τοῖς Ἑλληνικοῖς, ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ καὶ ἀνόητον. ἔγραψε Πρόκλος Μητρῳακὴν βίβλον, ἣν εἴ τις μετὰ χεῖρας λάβοι ὄψεται ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν θεολογίαν τὴν περὶ τὴν θεὸν ἐξέφηνεν ἅπασαν· ὥστε μηκέτι θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων.*

16–20 cf. Marini v. Procul. c. 33. obiit Proculus *τῷ δ' καὶ κ' καὶ ρ' ἔτει ἀπὸ τῆς Ἰουλιανοῦ βασιλείας, ἄρχοντος Ἀθήνησι Νικαγόρου τοῦ νεωτέρου, μηνὸς κατὰ μὲν Ἀθηναίους Μουνυχιῶνος ιζ', κατὰ δὲ Ῥωμαίους Ἀπριλίου ιζ'.* [sc. a. D. 485] Marini vita c. 36.

Proculi opus ipsum cum perierit, ad nos per plures epitomas et ampliores et breviores pervenerit, visum est primum Photium advocare testem, tum alios scriptores qui opus citaverunt, denique codices.

et bibliothecam quidem Photii nemo post Bekkerum adhuc edidit.[1] is codices contulit Ven. 450 s. x–xi, Pariss. 1226, 1227, 1266, mutuatus est a Gaisfordio in ed. Hephae-

[1] haec cum scriberem nondum vidi opus Edgari Martini *Textgeschichte der Bibliotheke des Patriarchen Photios von Konstantinopel. I. Die Handschriften, Ausgaben und Uebertragungen.* 1910.

stionis a. 1810 cum Harl. 5591, 5592, 5593 bibliothecam manu Henrici Stephani scriptam continentes (sunt autem apographa codicis Veneti) tum Reg. 16 C XIII, qui est epitome quaedam epitomae Photianae seorsim edita atque in capitula distincta, cuius fratres videntur esse Ottobon. 163 Vat. graec. 1408 (et hic quidem teste Immisch op. citando). vitam autem ampliore quam apud Photium forma conceptam primus edidit Leo Allatius e quonam codice Vaticano sumptam dubium: habent Vat. graec. 30, Ottobonianus 58 f. 23, sed hic utique serius in aedes Vaticanas venit quam ut eo Allatius uti posset. codicem Venetum vulgavit Villoison, Scorialensem Tychssen, Monacensem Thiersch, Parmensem Keil, Neapolitanum Stark, quibus praeter Neapolitanum et Parmensem denuo collatis adiecimus $A^2$, $Bm^3$, H, $P^7$, $P^{13}$, Pe, $U^5$.[1] Cypriorum enarratio paucioribus adhibetur libris: Scorialensi, Neapolitano, Monacensi, Parmensi addidimus $Bm^3$, H, Pe, denuo collatis Scorialensi Monacensi: abrupto ut videtur quaternionis filo amisit $U^1$: ceterum turbatum iam archetypon illius fuisse testantur lacunae verborum hic illic obviae. reliquorum Cycli poematum enarrationem solus continet $U^1$: textum ad imaginem Dominici Comparetti edidimus, ipso codice identidem collato.

## A

## PHOTII PATRIARCHAE ECLOGARVM PROCVLI EPITOME

[Photii bibliotheca e recensione Immanuelis Bekkeri 1824 cod. 239 f. 318 b.]

*ἀνεγνώσθησαν ἐκ τῆς Προκλοῦ χρηστομαθίας γραμματικῆς ἐκλογαί. ἔστι δὲ τὸ βιβλίον εἰς δ′ διῃρημένον*

[1] codicum descriptiones vide f. 187.

1 *ἀνεγνώσθησαν ἐκ τῆς*] *ἀνεγνώσθη ἐκ τοῦ ἐπιγραφομένου βιβλίου* Ven. Harl. *ἐκ τῆς φωτίου βιβλιοθήκης· ἀνεγνώσθη ἐκ τῆς πρόκλου χρηστομαθίας γραμματικῆς ἐκλογαί* rubrica pro titulo Reg. 2 *ἔστι . . . διῃρημένον*] *τὸ παρὸν βιβλίον διαιρεῖται εἰς δ′* praeter Ven. Harl. codd.

λόγους. καὶ ἐν μὲν τῷ α′ λέγει ὡς αἱ αὐταί εἰσιν ἀρεταὶ τοῦ λόγου καὶ ποιήματος, παραλλάσσουσι δὲ ἐν τῷ μᾶλλον καὶ ἧττον. καὶ ὅτι τοῦ πλάσματος τὸ μέν ἐστιν ἰσχνόν, τὸ δὲ ἁδρόν, τὸ δὲ μέσον. καὶ τὸ μὲν ἁδρὸν ἐκπληκτικώτατόν ἐστι καὶ κατεσκευασμένον μάλιστα, καὶ ποιητικὸν ἐπιφαῖνον κάλλος· τὸ δὲ ἰσχνὸν τὴν τροπικὴν μὲν καὶ φιλοκατάσκευον σύνθεσιν μεταδιώκει, ἐξ ἀνειμένων δὲ μᾶλλον συνήρτηται, ὅθεν ὡς ἐπίπαν τοῖς γοεροῖς ἄριστά πως ἐφαρμόττει· τὸ δὲ μέσον καὶ τοὔνομα μὲν δηλοῖ ὅτι μέσον ἐστὶν ἀμφοῖν. ἀνθηρὸν δὲ κατ᾽ ἰδίαν οὐκ ἔστι πλάσμα, ἀλλὰ συνεκφέρεται καὶ συμμέμικται τοῖς εἰρημένοις, ἁρμόζει δὲ τοπογραφίαις καὶ λειμώνων ἢ ἀλοῶν ἐκφράσεσιν. οἱ δὲ τῶν εἰρημένων ἀποσφαλέντες ἰδεῶν ἀπὸ μὲν τοῦ ἁδροῦ εἰς τὸ σκληρὸν καὶ ἐπηρμένον ἐτράπησαν, ἀπὸ δὲ τοῦ ἰσχνοῦ εἰς τὸ ταπεινόν, ἀπὸ δὲ τοῦ μέσου εἰς τὸ ἀργὸν καὶ ἐκλελυμένον. διαλαμβάνει δὲ καὶ περὶ κρίσεως ποιήματος, ἐν ᾧ παραδίδωσι τίς ἤθους καὶ πάθους διαφορά. καὶ ὅτι τῆς ποιήσεως τὸ μέν ἐστι διηγηματικὸν τὸ δὲ μιμητικόν, καὶ τὸ μὲν διηγηματικὸν ἐκφέρεται δι᾽ ἔπους ἰάμβου τε καὶ ἐλεγείου καὶ μέλους, τὸ δὲ μιμητικὸν διὰ τραγῳδίας σατύρων τε καὶ κωμῳδίας. καὶ ὅτι τὸ ἔπος πρῶτον μὲν ἐφεῦρε Φημονόη ἡ Ἀπόλλωνος προφῆτις, ἑξαμέτροις χρησμοῖς χρησαμένη· καὶ ἐπειδὴ τοῖς χρησμοῖς τὰ πράγματα εἵπετο καὶ σύμφωνα ἦν ἔπος τὸ ἐκ μέτρων κληθῆναι. οἱ δέ φασιν ὅτι διὰ τὴν κατασκευὴν καὶ τὴν ἄγαν ὑπεροχὴν τὴν ἐν τοῖς ἑξαμέτροις θεωρουμένην τὸ κοινὸν ὄνομα παντὸς τοῦ λόγου τὸ ἑξάμετρον ἰδιώσατο καὶ ἐκλήθη ἔπος, καθάπερ καὶ ὁ Ὅμηρος τὸν ποιητὴν καὶ ὁ Δημοσθένης τὸν ῥήτορα ᾠκειώσατο, ἐπεὶ καὶ τὰ τρίμετρα ἔπη προσηγόρευον. γεγόνασι δὲ τοῦ ἔπους ποιηταὶ κράτιστοι μὲν Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασις, Ἀντίμαχος. διέρχεται δὲ τούτων ὡς οἷόν τε καὶ γένος καὶ πατρίδας καί τινας ἐπὶ μέρους πράξεις. διαλαμβάνει δὲ καὶ περὶ τοῦ λεγομένου ἐπικοῦ κύκλου, ὃς ἄρχεται

μὲν ἐκ τῆς Οὐρανοῦ καὶ Γῆς μυθολογουμένης μίξεως, ἐξ ἧς αὐτῷ καὶ τρεῖς παῖδας ἑκατοντάχειρας καὶ τρεῖς γεννῶσι Κύκλωπας, διαπορεύεται δὲ τά τε ἄλλως περὶ θεῶν τοῖς Ἕλλησι μυθολογούμενα, καὶ εἴ πού τι καὶ πρὸς ἱστορίαν ἐξαληθίζεται. καὶ περατοῦται ὁ ἐπικὸς κύκλος ἐκ διαφόρων ποιητῶν συμπληρούμενος μέχρι τῆς ἀποβάσεως Ὀδυσσέως τῆς εἰς Ἰθάκην, ἐν ᾗ καὶ ὑπὸ τοῦ παιδὸς Τηλεγόνου ἀγνοοῦντος κτείνεται. λέγει δὲ ὡς τοῦ ἐπικοῦ κύκλου τὰ ποιήματα διασῴζεται καὶ σπουδάζεται τοῖς πολλοῖς οὐχ οὕτω διὰ τὴν ἀρετὴν ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. λέγει δὲ καὶ τὰ ὀνόματα καὶ τὰς πατρίδας τῶν πραγματευσαμένων τὸν ἐπικὸν κύκλον. λέγει δὲ καὶ περί τινων Κυπρίων ποιημάτων, καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ Ἡγησῖνον τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον· δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ, καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κύπρια τὸν πόνον ἐπικληθῆναι. ἀλλ' οὐ ⟨προσ⟩τίθεται ὁ συγγραφεὺς ταύτῃ τῇ αἰτίᾳ, μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἐπιγράφεσθαι τὰ ποιήματα. sequitur de ceteris poesis generibus disserens: finem facit 322 a. 39 Bekk. verbis οἱ μὲν δ' λόγοι τῆς Πρόκλου γραμματικῆς χρηστομαθίας ἐν τούτοις.

scholia in S. Gregor. Nazianz. oratt. (Patrologia ed. Migne xxxvi. 914 C) φασὶ δὲ καὶ ἰδικῶς ἐγκύκλιον τὴν ποιητικήν, περὶ ἧς καὶ Πρόκλος ὁ Πλατωνικὸς ἐν μονοβίβλῳ περὶ κύκλου ἐπιγεγραμμένῃ τὰς τῶν ποιητῶν διέξεισι ἀρετὰς καὶ τὰ ἴδια.

monobiblos eadem videtur esse atque epitome Photiana seorsum edita velut in codd. Reg. 16 Ott. 163 Vat. 1408.

2 γεννῶσι Ven. Harl.: ἑτέρους ἀποτίκτουσι cet. 3 διαπορεύεται κτλ. ita Ven. Harl. E. M. διεξέρχεται δὲ περὶ θεῶν τά τε ἄλλα cet. 8 ἀγνοοῦντος Ven. Harl.: ἀγνοούμενος ὡς πατὴρ εἴη cet. 14 ἡγήσιον codd. praeter Ven. Harl. 15 δοῦναι] γράψαι Ven.: γράψαι δοῦναι Par. 1266 18 κυπρία Ven., marg. Harl. 21 δ'] δύο codd., correximus *C. Q.* 1908. 65 n. 2. de ratione divisionis huius operis disputant O. Immisch *Festschrift Th. Gomperz dargebracht* 1902. 237 sqq., Stein *de Procli Chrest. gram. quaest. sel.* Bonnae 1907

scholia cod. Par. 451 in Euseb. praef. evang. 39 D (Dindorf, Eus. ed. 1867 praef. p. v) *τοὺς περὶ τὸν ἐπικὸν καλούμενον κύκλον ποιητὰς λέγει. οὗτος ὁ ἐπικὸς καλούμενος κύκλος ἄρχεται μὲν ἐκ τῆς οὐρανοῦ καὶ γῆς μίξεως μυθολογουμένης, καὶ περατοῦται συμπληρούμενος ἐκ διαφόρων ποιητῶν μέχρι τῆς εἰς Ἰθάκην ἀποβάσεως Ὀδυσσέως, ἐν ᾗ καὶ ὑπὸ τοῦ παιδὸς Τηλεγόνου ἀγνοούμενος ὡς πατὴρ εἴη κτείνεται.* cf. f. 97. 5 sqq. codex cum a. 914 scriptus sit Photianis usum esse Aretham acerrimum scholiorum collectorem vix veri simile videtur.

epitomen Photianam in brevius redactam habet E. M. 327. 39. *ἔλεγος*] *ἐκ τοῦ περὶ χρηστομαθίας* Πρόκλου. *ὁ μέντοι ἐπικὸς κύκλος ἄρχεται μὲν ἐκ τῆς μυθολογουμένης οὐρανοῦ καὶ γῆς μίξεως, ἀφ' ἧς ἑκατόγχειρες γίνονται· καὶ ἑξῆς. διαπορεύεται δὲ τά τε ἄλλως περὶ θεῶν τοῖς Ἕλλησι μυθολογούμενα, καὶ εἴπου τι καὶ πρὸς ἱστορίαν ἐξαληθίζεται. περατοῦται δὲ ἐκ διαφόρων ποιητῶν συμπληρούμενος μέχρι Ὀδυσσέως. ὧν καὶ ὀνόματα καὶ πατρίδας φησὶν ὁ αὐτός. σπουδάζεσθαι δὲ τὰ ἐπικοῦ κύκλου ποιήματα οὐχ οὕτω διὰ τὴν ἀρετὴν ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. τὴν δὲ ἐλεγείαν κτλ.*

nonnulla et epistolographus quem edidit e cod. Barocc. 131 Cramerus tradidit (est autem Michael Italicus secundum Treu *Byz. Zeitschr.* iv. 1. sq.) in An. Ox. iii. 189. 18 *καὶ εἰ μή τισι μειρακιευόμενος ἔδοξα, τὰ Φημονόης ἄν σοι διεξῆλθον καὶ Δημοῦς τῆς γραμματικῆς, τῆς μὲν ἔπος εὑρούσης, τῆς δὲ τέχνας συγγραψαμένης· εἶπον ἂν καὶ τίνες μὲν τοῦ ἔπους γεγόνασι κράτιστοι ποιηταί, ὧν ὁ Πανίασις γνωριμώτατος μετὰ Ὅμηρον· τίς δὲ ὁ ἐπικὸς κύκλος· τίνα δὲ Στασίνῳ τὰ Κύπρια· τίς δὲ ἡ μελικὴ ποίησις κτλ.*

# CHRESTOMATHIA

## B

## PROCVLI CHRESTOMATHIAE ECLOGAE

### Πρόκλου χρηστομαθείας γραμματικῆς τῶν εἰς δ′ διῃρημένων τὸ α′

Ὁμήρου χρόνοι, βίος, χαρακτήρ, ἀναγραφὴ ποιημάτων.

Ἐπῶν ποιηταὶ γεγόνασι πολλοί· τούτων δ᾽ εἰσὶ κράτιστοι Ὅμηρος Ἡσίοδος Πείσανδρος Πανύασσις Ἀντίμαχος. Ὅμηρος μὲν οὖν τίνων γονέων ἢ ποίας ἐγένετο πατρίδος, οὐ ῥᾴδιον ἀποφήνασθαι· οὔτε γὰρ αὐτός τι λελάληκεν, ἀλλ᾽ οὐδὲ οἱ περὶ αὐτοῦ εἰπόντες συμπεφωνήκασιν, ἀλλ᾽ ἐκ τοῦ μηδὲν ῥητῶς ἐμφαίνειν περὶ τούτων τὴν ποίησιν αὐτοῦ μετὰ πολλῆς ἀδείας ἕκαστος οἷς ἠβούλετο ἐχαρίσατο. καὶ διὰ τοῦτο οἱ μὲν Κολοφώνιον αὐτὸν ἀνηγόρευσαν, οἱ δὲ Χῖον, οἱ δὲ Σμυρναῖον, οἱ δὲ Ἰήτην, ἄλλοι δὲ Κυμαῖον· καὶ καθόλου πᾶσα πόλις ἀντιποιεῖται τἀνδρός, ὅθεν εἰκότως ἂν κοσμοπολίτης λέγοιτο. οἱ μὲν οὖν Σμυρναῖον αὐτὸν ἀποφαινόμενοι Μαίονος μὲν πατρὸς λέγουσιν εἶναι, γεννηθῆναι δὲ ἐπὶ Μέλητος τοῦ ποταμοῦ, ὅθεν καὶ Μελησιγενῆ ὀνομασθῆναι· δοθέντα δὲ Χίοις εἰς ὁμηρείαν Ὅμηρον κληθῆναι. οἱ δὲ ἀπὸ τῆς τῶν ὀμμάτων πηρώσεως τούτου τυχεῖν αὐτόν φασι τοῦ ὀνόματος· τοὺς γὰρ τυφλοὺς ὑπὸ Αἰολέων ὁμήρους καλεῖσθαι. Ἑλλάνικος ⟨fr. 6⟩ δὲ καὶ Δαμάστης ⟨F. H. G. ii. 66⟩ καὶ Φερεκύδης ⟨F. H. G. iv. 639⟩ εἰς

1—p. 102, l. 6 vita Proculea (III West.) *codices*: A² Bm³ E² H M¹ N P⁷ P¹⁴ Pa Pe U¹ f. 1, U⁵. non collati Pa Pe neque praeter titulum N. Titvlvs: quem dedimus exhibet U¹: *πρόκλου περὶ ὁμήρου* A² Bm³ E² H N: *γένος ὁμήρου* P¹⁴ om. P⁷ + *ἐν τοῖς χρόνοις ῥοβοὰμ ἦν ὅμηρος καὶ ἡσίοδος* + *κατὰ τοὺς χρόνους σαμουὴλ τοῦ προφητοῦ ἐγένετο ὁ πόλεμος ὁ ἰλιακός· ἐν ἔτεσι δέκα· καὶ τὸ ἴλιον ἥλω* P⁷ in marg. 4, 5 *ἐπῶν . . . ἀντίμαχος* om. P⁷ P¹⁴ 4 *ποιητικῶν* A² 5 *πανυάσσης* A² Bm³ M¹ 6 *ὅμηρος ὁ ποιητής τινων μὲν γονέων* P⁷ P¹⁴ *ἐγένετο* om. Bm³ E² H M¹ 9 *τούτου* M¹ 12 *οἱ δὲ κυμαῖον* P¹⁴ 13 *ἀντιποιῆσαι τοῦ ἀνδρὸς* Bm³ M¹ 15 *μαίωνος* Bm³ E² H M¹ (corr. ex *-ονος*): *μάρενος* A², cf. 19 vit. iv. 1 16 *μελησιγενῆ* H P¹³ U¹: *-γεννῆ* Bm³: *-ένη* cet.: *μελησ-* corr. ex *ϊσ* vel *ϊσσ* E²: *μελήσσιος γώνη* (ss. *γωνῆ*, *νης*) M¹ 17 *ὠνομασθῆναι* M¹ 20 *ἑλλάνικος*—6 pag. inf. *ἀνάγει* om. P⁷ P¹⁴ 21 *δάμαστος* A²: *δαμάσθης* (ss. *στ*) H *εἰς* om. A² E² M¹

Ὀρφέα τὸ γένος ἀνάγουσιν αὐτοῦ· Μαίονα γάρ φασι τὸν Ὁμήρου πατέρα καὶ Δῖον τὸν Ἡσιόδου γενέσθαι Ἀπέλλιδος τοῦ Μελανώπου τοῦ Ἐπιφράδεος τοῦ Χαριφήμου τοῦ Φιλοτέρπεος τοῦ Ἰδμονίδα τοῦ Εὐκλέους τοῦ Δωρίωνος τοῦ Ὀρφέως. Γοργίας δὲ ὁ Λεοντῖνος ⟨fr. 25 Diels⟩ εἰς Μουσαῖον αὐτὸν ἀνάγει. περὶ δὲ τῆς τελευτῆς αὐτοῦ λόγος τις φέρεται τοιοῦτος. ἀνελεῖν φασὶν αὐτῷ τὸν θεὸν χρωμένῳ περὶ ἀσφαλείας τάδε·

ἔστιν Ἴος νῆσος μητρὸς πατρὶς ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

λέγουσιν οὖν αὐτὸν εἰς Ἴον πλεύσαντα διατρῖψαι μὲν παρὰ Κρεωφύλῳ, γράψαντα δὲ Οἰχαλίας ἅλωσιν τούτῳ χαρίσασθαι, ἥτις νῦν ὡς Κρεωφύλου περιφέρεται. καθεζόμενον δὲ ἐπί τινος ἀκτῆς, θεασάμενον ἁλιεῖς προσειπεῖν αὐτοὺς καὶ ἀνακρῖναι τοῖσδε τοῖς ἔπεσιν·

ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἆρ' ἔχομέν τι;

ὑποτυχόντα δὲ αὐτῶν ἕνα εἰπεῖν

οὓς ἕλομεν λιπόμεσθ', οὓς δ' οὐχ ἕλομεν φερόμεσθα.

οὐκ ἐπιβάλλοντος δ' αὐτοῦ διελέσθαι τὸ αἴνιγμα, ὅτι ἐπὶ ἰχθυΐαν καταβάντες ἀφήμαρτον, φθειρισάμενοι δὲ ὅσους μὲν ἔλαβον τῶν φθειρῶν ἀποκτείναντες ἀπολείπουσιν, ὅσοι δὲ αὐτοὺς διέφυγον, τούτους ἀποκομίζουσιν, οὕτω δ' ἐκεῖνον ἀθυμήσαντα σύννουν ἀπιέναι τοῦ χρησμοῦ ἔννοιαν λαμβάνοντα, καὶ οὕτως ὀλισθέντα περιπταῖσαι λίθῳ καὶ τριταῖον

1 παράγουσιν Bm³ E² H M¹ μαίωνα Bm³ E² H M¹ : μάρωνα A² φησι A² 2 ἀπὸ ἔλλιδος E² M¹ : ἀπὸ ἔλλιδος H : ἀπὸ ελλιδος Bm³ : ἀπέλλιαοσ A² 3 μελανωποῦ U¹ ἐπιφραδέως E² 4 φιλοτελπέος A² ἰδμονίδου A² εὐκλεοῦσ Bm³ E² 6, 7 τοιοῦτος τις φέρεται λόγος Bm³ E² H M¹ (ἐφέρετο) 7 αὐτὸν Bm³ M¹ 9, 10 = Anth. Pal. xiv. 65, v. ad vit. Plut. 48 9 ἔστιν ἴηος P¹⁴ : ἴηος tantum P⁷ 10 φυλάξω Bm³ M¹ 12 παρὰ] περὶ A² E² H M¹ 12 κρεοφ- Bm³ E² H M¹ U¹ : κρεοφίλω A² : κλεοφύλω P¹⁴ 13 κρεοφ- Bm³ H M¹ U¹ : κρεοφίλου A² : κλεοφ- P¹⁴ 15 ἀνακίναι A² 16 ἆρ'] ἦρ' E² H M¹ P⁷ P¹⁴ U⁵ 17 ὑποτυχόντες A² Bm³ E² H M¹ αὐτῷ A² E² H M ἐναν Bm³ 18 v. ad Certam. 328 ὅσσ' . . . ὅσσ' οὐχ U⁵ 20 ἰχθύαν M¹ : -ΐαν Bm³ v. ad vit. Her. 500 23 ἐπιέναι A² 24 ὀλισθόντα E² H περιπτέσθαι A² : περιπέσαι (ss. αι) Bm³

τελευτῆσαι. ἀλλὰ δὴ ταῦτα μὲν πολλῆς ἔχεται ζητήσεως· ἵνα δὲ μηδὲ τούτων ἄπειρος ὑπάρχῃς, διὰ τοῦτο εἰς ταῦτα κατεχώρισα. τυφλὸν δὲ ὅσοι τοῦτον ἀπεφήναντο, αὐτοί μοι δοκοῦσι τὴν διάνοιαν πεπηρῶσθαι· τοσαῦτα γὰρ κατεῖδεν ἄνθρωπος ὅσα οὐδεὶς πώποτε. εἰσὶ δὲ οἵτινες ἀνεψιὸν αὐτὸν Ἡσιόδου παρέδοσαν ἀτριβεῖς ὄντες ποιήσεως· τοσοῦτον γὰρ ἀπέχουσι τοῦ γένει προσήκειν ὅσον ἡ ποίησις διέστηκεν αὐτῶν. ἄλλως δὲ οὐδὲ τοῖς χρόνοις συνεπέβαλον ἀλλήλοις. ἄθλιοι δὲ οἱ τὸ αἴνιγμα πλάσαντες τοῦτο

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ᾽ ἀνέθηκεν,
ὕμνῳ νικήσας ἐν Χαλκίδι δῖον Ὅμηρον.

ἀλλὰ γὰρ ἐπλανήθησαν ἐκ τῶν Ἡσιοδείων Ἡμερῶν· ἕτερον γάρ τι σημαίνει. τοῖς δὲ χρόνοις αὐτὸν οἱ μὲν περὶ τὸν Ἀρίσταρχόν φασι γενέσθαι κατὰ τὴν τῆς Ἰωνίας ἀποικίαν, ἥτις ὑστερεῖ τῆς Ἡρακλειδῶν καθόδου ἔτεσιν ἑξήκοντα, τὸ δὲ περὶ τοὺς Ἡρακλείδας λείπεται τῶν Τρωϊκῶν ἔτεσιν ὀγδοήκοντα· οἱ δὲ περὶ Κράτητα ⟨fr. ed. Wachs. p. 40⟩ ἀνάγουσιν αὐτὸν εἰς τοὺς Τρωϊκοὺς χρόνους. φαίνεται δὲ γηραιὸς ἐκλελοιπὼς τὸν βίον· ἡ γὰρ ἀνυπέρβλητος ἀκρίβεια τῶν πραγμάτων προβεβηκυῖαν ἡλικίαν παρίστησιν. πολλὰ δὲ ἐπεληλυθὼς μέρη τῆς οἰκουμένης ἐκ τῆς πολυπειρίας τῶν τόπων εὑρίσκεται. τούτῳ δὲ προσυπονοητέον καὶ πλούτου πολλὴν περιουσίαν γενέσθαι· αἱ γὰρ μακραὶ ἀποδημίαι πολλῶν ἀναλωμάτων δέονται, καὶ ταῦτα κατ᾽ ἐκείνους τοὺς χρόνους οὔτε πάντων πλεομένων

1–3 *ἀλλὰ . . . κατεχώρισα* om. $P^7$ $P^{14}$ 3 *κεχώρηκα* $A^2$ H $M^1$ : *κατεχώρησα* cet. corr. Dindorf. 4 *κατοῖδεν* $A^2$ $Bm^3$ $M^1$ 5 *ὅσα οὐδεὶς ἄνος πώποτε* $A^2$ $Bm^3$ $E^2$ H $M^1$ *τινες* $P^{14}$ 7 *τῷ* $E^2$ $Bm^3$ *ἡ* om. $Bm^3$ $E^2$ H $M^1$ 8 *ἄλλος* $Bm^3$ H $M^1$ *συνεπέβαλον* $P^{14}$ 9–18 *ἄθλιοι . . . χρόνους* om. $P^7$ $P^{14}$ 10–12 v. ad Certam. 213 11 *ὕμνον* $M^1$, fort. $E^2$ m. rec. 16, 17 *τὸ δὲ περὶ . . . ἔτεσιν π′* om. $A^2$ $E^2$ H $M^1$ 19 *ἐκλελοιπὼς τὸν βίον* om. $A^2$ relicto spatio 20 *προβεβηκυῖαν*] *τέλειαν* $Bm^3$ $E^2$ H $M^1$ 21 *ἐπεληλυθὼς* om. relicto spatio $A^2$ 22 *τοῦτο* $P^7$ $P^{14}$ 23 *πλού . . . γενέσθαι* $A^2$ *πολλοῦ* $Bm^3$ $M^1$ 24 *ἐπιδημίαι* $A^2$ *δέονται ἀναλωμάτων* $A^2$ $Bm^3$ H $M^1$ 25 *τοὺς πάντων* $A^2$

ἀκινδύνως οὔτε ἐπιμισγομένων ἀλλήλοις πω τῶν ἀνθρώπων ῥᾳδίως. γέγραφε δὲ ποιήσεις δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν, ἣν Ξένων καὶ Ἑλλάνικος ἀφαιροῦνται αὐτοῦ. οἱ μέντοι γε ἀρχαῖοι καὶ τὸν κύκλον ἀναφέρουσιν εἰς αὐτόν. προστιθέασι δὲ αὐτῷ καὶ παίγνιά τινα, Μαργίτην, βατραχομαχίαν ἢ μυομαχίαν· ἑπτάπεκτον αἶγα, Κέρκωπας κενούς.

## Τοῦ αὐτοῦ περὶ τῶν Κυπρίων λεγομένων ποιημάτων

Ἐπιβάλλει τούτοις τὰ λεγόμενα Κύπρια ἐν βιβλίοις φερόμενα ἕνδεκα, ὧν περὶ τῆς γραφῆς ὕστεοον ἐροῦμεν, ἵνα μὴ τὸν ἑξῆς λόγον νῦν ἐμποδίζωμεν. τα δὲ περιέχοντά ἐστι ταῦτα.

Ζεὺς βουλεύεται μετὰ τῆς Θέμιδος περὶ τοῦ Τρωϊκοῦ πολέμου· παραγενομένη δὲ Ἔρις εὐωχουμένων τῶν θεῶν ἐν τοῖς Πηλέως γάμοις νεῖκος περὶ κάλλους ἐνίστησιν Ἀθηνᾷ, Ἥρᾳ καὶ Ἀφροδίτῃ, αἳ πρὸς Ἀλέξανδρον ἐν Ἴδῃ κατὰ Διὸς προσταγὴν ὑφ᾽ Ἑρμοῦ πρὸς τὴν κρίσιν ἄγονται· καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς τοῖς Ἑλένης γάμοις Ἀλέξανδρος. ἔπειτα δὲ Ἀφροδίτης ὑποθεμένης ναυπηγεῖται, καὶ Ἕλενος περὶ τῶν μελλόντων αὐτῷ προθεσπίζει.

1 *μισγομένων* U$^5$ *πῶ* U$^1$ : *πως* M$^1$ : *πῶς* A$^2$ Bm$^3$ E$^2$ H P$^7$ P$^{14}$ 2 *γεγράφθαι* Bm$^3$ E$^2$ H M$^1$ P$^7$ P$^{14}$ : *γεγραφθ᾽* (ss. *α*) *δύο* A$^2$ 3-4 *ἣν . . . αὐτόν* om. P$^7$ P$^{14}$ : *ἣν* om. A$^2$ Bm$^3$ E$^2$ H M$^1$ 4 *καὶ ἀναφέρουσιν* A$^2$ 4, 5 *προστιθέασι δὲ τινὲς αὐτῶ* P$^7$ P$^{14}$ 5 *μαργίτην καὶ* Bm$^3$ E$^2$ H M$^1$, post *μαργίτην* add U$^1$ marg. *οἱ δὲ λέγουσι τήγρητος τοῦ καρός* *βατραχομαχίαν ἢ μυομαχίαν* E$^2$ P$^7$ P$^{14}$ U$^1$ : *βατραχομυομαχίαν* cet. 6 *ἕν τε πακτίον* A$^2$ Bm$^3$ (*ἕν τε*) E$^2$ H P$^7$ P$^{14}$ (*ἕν τε*) *ἐντεπάκτιον* cet. : *ἑπταπακτικὴν* vit. Herod. 333 : *ἠθιέπακτος ἤτοι ἴαμβοι* Suid. 45 : *ἑπταπάκτιον* Suid. 103 (*ἑπτάκιον* cod. vit. Herod. Ma) *ἑπταεπάκτιον* Tzetzes proem. alleg. Hom. 33 : forte *ἑπταπέκτιον* Allatius : *ἑπτάπεκτον* Dindorf ut vid., cf. *ἑπτάπεκτος· ἡ τὴν βαθεῖαν ἔχουσα κόμην· ἡ δυναμένη ἑπτάκις τμηθῆναι* E. M. et Suid. : *ἑπταπέκτιος· ἡ βαθείας τρίχας ἔχουσα* Hesych. *κενούς* sc. vacuos non viatores sed latrones : *καινούς* Dindorf 7–p. 105. 18 Cypriorum enarratio. *codices* : Bm$^3$ E$^2$ H M$^1$ N Pa Pe : om. U$^1$ 13 *βούλεται* codd. praeter N *θέτιδος* codd. corr. Heyne 15 *ἀνίστησιν* N 18 *τοῖς*] *τῆς* Bm$^3$ H M$^1$ N Pe 19 *ἔπειτα καὶ* Bm$^3$ H M$^1$ Pa (om. *ἐπαρθεὶς . . . Ἀλέξανδρος*) Pe 20 *αὐτῷ* Heyne pro *αὐτοῖς* (*αὐτῆς* M$^1$)

καὶ ἡ Ἀφροδίτη Αἰνείαν συμπλεῖν αὐτῷ κελεύει. καὶ Κασσάνδρα περὶ τῶν μελλόντων προδηλοῖ. ἐπιβὰς δὲ τῇ Λακεδαιμονίᾳ Ἀλέξανδρος ξενίζεται παρὰ τοῖς Τυνδαρίδαις, καὶ μετὰ ταῦτα ἐν τῇ Σπάρτῃ παρὰ Μενελάῳ· καὶ Ἑλένῃ παρὰ τὴν εὐωχίαν δίδωσι δῶρα ὁ Ἀλέξανδρος. καὶ μετὰ ταῦτα Μενέλαος εἰς Κρήτην ἐκπλεῖ, κελεύσας τὴν Ἑλένην τοῖς ξένοις τὰ ἐπιτήδεια παρέχειν, ἕως ἂν ἀπαλλαγῶσιν. ἐν τούτῳ δὲ Ἀφροδίτη συνάγει τὴν Ἑλένην τῷ Ἀλεξάνδρῳ. καὶ μετὰ τὴν μίξιν τὰ πλεῖστα κτήματα ἐνθέμενοι νυκτὸς ἀποπλέουσι. χειμῶνα δὲ αὐτοῖς ἐφίστησιν Ἥρα. καὶ προσενεχθεὶς Σιδῶνι ὁ Ἀλέξανδρος αἱρεῖ τὴν πόλιν. καὶ ἀποπλεύσας εἰς Ἴλιον γάμους τῆς Ἑλένης ἐπετέλεσεν.

Ἐν τούτῳ δὲ Κάστωρ μετὰ Πολυδεύκους τὰς Ἴδα καὶ Λυγκέως βοῦς ὑφαιρούμενοι ἐφωράθησαν. καὶ Κάστωρ μὲν ὑπὸ τοῦ Ἴδα ἀναιρεῖται, Λυγκεὺς δὲ καὶ Ἴδας ὑπὸ Πολυδεύκους· καὶ Ζεὺς αὐτοῖς ἑτερήμερον νέμει τὴν ἀθανασίαν. καὶ μετὰ ταῦτα Ἶρις ἀναγγέλλει τῷ Μενελάῳ τὰ γεγονότα κατὰ τὸν οἶκον. ὁ δὲ παραγενόμενος περὶ τῆς ἐπ' Ἴλιον στρατείας βουλεύεται μετὰ τοῦ ἀδελφοῦ, καὶ πρὸς Νέστορα παραγίνεται Μενέλαος. Νέστωρ δὲ ἐν παρεκβάσει διηγεῖται αὐτῷ ὡς Ἐπωπεὺς φθείρας τὴν Λύκου θυγατέρα ἐξεπορθήθη, καὶ τὰ περὶ Οἰδίπουν καὶ τὴν Ἡρακλέους μανίαν καὶ τὰ περὶ Θησέα καὶ Ἀριάδνην. ἔπειτα τοὺς ἡγεμόνας ἀθροίζουσιν ἐπελθόντες τὴν Ἑλλάδα. καὶ μαίνεσθαι προσποιησάμενον τὸν Ὀδυσσέα ἐπὶ τῷ μὴ θέλειν συστρατεύεσθαι ἐφώρασαν, Παλαμήδους ὑποθεμένου τὸν υἱὸν Τηλέμαχον ἐπὶ κόλασιν ἐξαρπάσαντες.

2 *κάσανδρα* Bm$^3$ E$^2$ H M$^1$ Pa Pe 3 *παρὰ*] *περὶ* Bm$^3$ M$^1$ Pe 9 *μετὰ*] *μὲ* M$^1$ 11 *αἵρει* Bm$^3$ E$^2$ H Pa Pe 12 *ἀπετέλεσεν* Bm$^3$ H Pa Pe 13 *ἴδας* M 14 *λυγέως* Bm$^3$ H Pa Pe *βάς* Pa: *βᾶσ* Bm$^3$ *ὑφαιρόμενοι* Bm$^3$ H M$^1$ N Pa *ἐφοράθησαν* E$^2$ 15 *λυγεὺς* Bm$^3$ Pa Pe 17 *ἀγγέλει* Bm$^3$ E$^2$ H N Pa Pe 22 *λύκου* Heyne: *λυκούργου* codd. *οἰδίππουν* Bm$^3$ Pa Pe 23 *ἡρακλέος* Pa Pe 26 *ἐφόρασαν* Bm$^3$ M$^1$ Pa Pe: *ἐφόρεσαν* H *παλλαμίδους* Pa Pe (-λ-)

Καὶ μετὰ ταῦτα συνελθόντες εἰς Αὐλίδα θύουσι· καὶ τὰ περὶ τὸν δράκοντα καὶ τοὺς στρουθοὺς γενόμενα δείκνυται, καὶ Κάλχας περὶ τῶν ἀποβησομένων προλέγει αὐτοῖς. ἔπειτα ἀναχθέντες Τευθρανίᾳ προσίσχουσι καὶ ταύτην ὡς Ἴλιον ἐπόρθουν. Τήλεφος δὲ ἐκβοηθήσας Θερσανδρόν τε τὸν Πολυνείκους κτείνει καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως τιτρώσκεται. ἀποπλέουσι δὲ αὐτοῖς ἐκ τῆς Μυσίας χειμὼν ἐπιπίπτει καὶ διασκεδάννυνται. Ἀχιλλεὺς δὲ Σκύρῳ προσσχὼν γαμεῖ τὴν Λυκομήδους θυγατέρα Δηϊδάμειαν. ἔπειτα Τήλεφον κατὰ μαντείαν παραγενόμενον εἰς Ἄργος ἰᾶται Ἀχιλλεὺς ὡς ἡγεμόνα γενησόμενον τοῦ ἐπ' Ἴλιον πλοῦ.

Καὶ τὸ δεύτερον ἠθροισμένου τοῦ στόλου ἐν Αὐλίδι Ἀγαμέμνων ἐπὶ θήρας βαλὼν ἔλαφον ὑπερβάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν. μηνίσασα δὲ ἡ θεὸς ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ χειμῶνας ἐπιπέμπουσα. Κάλχαντος δὲ εἰπόντος τὴν τῆς θεοῦ μῆνιν καὶ Ἰφιγένειαν κελεύσαντος θύειν τῇ Ἀρτέμιδι, ὡς ἐπὶ γάμον αὐτὴν Ἀχιλλεῖ μεταπεμψάμενοι θύειν ἐπιχειροῦσιν. Ἄρτεμις δὲ αὐτὴν ἐξαρπάσασα εἰς Ταύρους μετακομίζει καὶ ἀθάνατον ποιεῖ, ἔλαφον δὲ ἀντὶ τῆς κόρης παρίστησι τῷ βωμῷ.

Ἔπειτα καταπλέουσιν εἰς Τένεδον. καὶ εὐωχουμένων αὐτῶν Φιλοκτήτης ὑφ' ὕδρου πληγεὶς διὰ τὴν δυσοσμίαν ἐν Λήμνῳ κατελείφθη, καὶ Ἀχιλλεὺς ὕστερον κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα. ἔπειτα ἀποβαίνοντας αὐτοὺς εἰς Ἴλιον

2 *γένημ* (ss. *α*) Pa Pe : *γενημα* Bm$^3$ 3 quod ait Bachmann ad Lyc. 202 (ed. 1830), cf. 233, litteram *ε* in margine cod. Neap. hic appositam esse unde indicatum fuerit quintum Cypriorum librum ab *ἔπειτα* incipere cum a libro Gargiulli sumptum sit nulla fide nititur (cf. Welcker l. c. p. 505) 4 *προσέσχουσι* Bm$^3$ M$^1$ Pa Pe 5 *ἐκβοηθήσας*] *ἐκ βοηθείας* codd. (*ἐκβοήθειαν* M$^1$ : *ἐκβοηθεῖ* N) em. Heyne 8 *διασκεδάννυται* Pe *προσχὼν* Bm$^3$ E$^2$ H M$^1$ Pe 11 *τοῦτ' ἐπ'* Bm$^3$ M$^1$ (om. *ἐπ'*) Pa Pe 13 *θήραν* codd. (*θῆραν* Bm$^3$ H) em. Bekker 14 *μηνύσασα* Bm$^3$ M$^1$ Pa 15 *χειμόνας* Bm$^3$ Pa Pe 16 *τοῦ* M$^1$ Pa *θύει* Bm$^3$ Pa Pe 17 *αὐτν* E$^2$ : *αὐτῇ* Bm$^3$ H M$^1$ N Pa Pe 23 *κατεβλήθη* (marg. man. al. *κ,λήφθη* ss. *τ*) Pe : *κατελήθη* (ss. *β*) M$^1$ : *κατελήφθη* H Pa (marg. *κατεβλήθη*) : *κατεβλήθη* Bm$^3$ *ὕστερος* Bm$^3$ N Pe : *ὕστερ* (ss. *ο*) E$^2$

εἴργουσιν οἱ Τρῶες, καὶ θνήσκει Πρωτεσίλαος ὑφ' Ἕκτορος. ἔπειτα Ἀχιλλεὺς αὐτοὺς τρέπεται ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος. καὶ τοὺς νεκροὺς ἀναιροῦνται, καὶ διαπρεσβεύονται πρὸς τοὺς Τρῶας, τὴν Ἑλένην καὶ τὰ κτήματα ἀπαιτοῦντες. ὡς δὲ οὐχ ὑπήκουσαν ἐκεῖνοι, ἐνταῦθα δὴ τειχομαχοῦσιν. ἔπειτα τὴν χώραν ἐπεξελθόντες πορθοῦσι καὶ τὰς περιοίκους πόλεις. καὶ μετὰ ταῦτα Ἀχιλλεὺς Ἑλένην ἐπιθυμεῖ θεάσασθαι, καὶ συνήγαγεν αὐτοὺς εἰς τὸ αὐτὸ Ἀφροδίτη καὶ Θέτις. εἶτα ἀπονοστεῖν ὡρμημένους τοὺς Ἀχαιοὺς Ἀχιλλεὺς κατέχει. κἄπειτα ἀπελαύνει τὰς Αἰνείου βόας, καὶ Λυρνησὸν καὶ Πήδασον πορθεῖ καὶ συχνὰς τῶν περιοικίδων πόλεων, καὶ Τρωΐλον φονεύει. Λυκάονά τε Πάτροκλος εἰς Λῆμνον ἀγαγὼν ἀπεμπολᾷ, καὶ ἐκ τῶν λαφύρων Ἀχιλλεὺς μὲν Βρισηΐδα γέρας λαμβάνει, Χρυσηΐδα δὲ Ἀγαμέμνων. ἔπειτά ἐστι Παλαμήδους θάνατος, καὶ Διὸς βουλὴ ὅπως ἐπικουφίσῃ τοὺς Τρῶας Ἀχιλλέα τῆς συμμαχίας τῆς Ἑλληνικῆς ἀποστήσας, καὶ κατάλογος τῶν τοῖς Τρωσὶ συμμαχησάντων.

## Πρόκλου χρηστομαθείας γραμματικῆς τὸ δεύτερον

Ἐπιβάλλει δὲ τοῖς προειρημένοις ἐν τῇ πρὸ ταύτης βίβλῳ Ἰλιὰς Ὁμήρου· μεθ' ἥν ἐστιν Αἰθιόπιδος βιβλία ε̄ Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε. Ἀμαζὼν Πενθεσίλεια παραγίνεται Τρωσὶ συμμαχήσουσα, Ἄρεως μὲν θυγάτηρ, Θρᾷσσα δὲ τὸ γένος· καὶ κτείνει αὐτὴν ἀριστεύουσαν Ἀχιλλεύς, οἱ δὲ Τρῶες αὐτὴν θάπτουσι. καὶ Ἀχιλλεὺς Θερσίτην ἀναιρεῖ, λοιδορηθεὶς πρὸς αὐτοῦ καὶ ὀνειδισθεὶς τὸν ἐπὶ τῇ Πενθεσιλείᾳ λεγόμενον ἔρωτα· καὶ ἐκ τούτου στάσις γίνεται τοῖς Ἀχαιοῖς περὶ τοῦ Θερσίτου φόνου. μετὰ δὲ ταῦτα Ἀχιλλεὺς εἰς Λέσβον πλεῖ, καὶ θύσας Ἀπόλλωνι καὶ Ἀρτέμιδι

2 *κύκνου* Pa 5 *ἐνταῦθα δὴ* om. N 8–10 *Ἑλένην . . . Ἀχιλλεὺς* om. Bm[3] M[1] Pa Pe 8 *συνήγαγον* N 11 *ποθεῖ* Bm[3] H Pe 12 *περιοικίδεων* Pa 14 *τὴν βρισ.* N 15 *παλαμίδους* Bm[3] Pa Pe 16 *βουλῇ* M[1] *ἐπικουφήσῃ* M[1] : *-ίσει* N 21–p. 106. 17 Aethiopidis enarratio. *codex*: U[1] f. 6 r. folia in U[1] discussa ordinavit Heyne

καὶ Λητοῖ καθαίρεται τοῦ φόνου ὑπ' Ὀδυσσέως. Μέμνων δὲ ὁ Ἠοῦς υἱὸς ἔχων ἡφαιστότευκτον πανοπλίαν παραγίνεται τοῖς Τρωσὶ βοηθήσων· καὶ Θέτις τῷ παιδὶ τὰ κατὰ τὸν Μέμνονα προλέγει. καὶ συμβολῆς γενομένης Ἀντίλοχος ὑπὸ Μέμνονος ἀναιρεῖται, ἔπειτα Ἀχιλλεὺς Μέμνονα κτείνει· καὶ τούτῳ μὲν Ἠὼς παρὰ Διὸς αἰτησαμένη ἀθανασίαν δίδωσι. τρεψάμενος δ' Ἀχιλλεὺς τοὺς Τρῶας καὶ εἰς τὴν πόλιν συνεισπεσὼν ὑπὸ Πάριδος ἀναιρεῖται καὶ Ἀπόλλωνος· καὶ περὶ τοῦ πτώματος γενομένης ἰσχυρᾶς μάχης Αἴας ἀνελόμενος ἐπὶ τὰς ναῦς κομίζει, Ὀδυσσέως ἀπομαχομένου τοῖς Τρωσίν. ἔπειτα Ἀντίλοχόν τε θάπτουσι καὶ τὸν νεκρὸν τοῦ Ἀχιλλέως προτίθενται· καὶ Θέτις ἀφικομένη σὺν Μούσαις καὶ ταῖς ἀδελφαῖς θρηνεῖ τὸν παῖδα· καὶ μετὰ ταῦτα ἐκ τῆς πυρᾶς ἡ Θέτις ἀναρπάσασα τὸν παῖδα εἰς τὴν Λευκὴν νῆσον διακομίζει. οἱ δὲ Ἀχαιοὶ τὸν τάφον χώσαντες ἀγῶνα τιθέασι, καὶ περὶ τῶν Ἀχιλλέως ὅπλων Ὀδυσσεῖ καὶ Αἴαντι στάσις ἐμπίπτει.

## Ἰλιάδος μικρᾶς Δ̄ Λέσχεω

Ἑξῆς δ' ἐστὶν Ἰλιάδος μικρᾶς βιβλία τέσσαρα Λέσχεω Μιτυληναίου περιέχοντα τάδε. Ἡ τῶν ὅπλων κρίσις γίνεται καὶ Ὀδυσσεὺς κατὰ βούλησιν Ἀθηνᾶς λαμβάνει, Αἴας δ' ἐμμανὴς γενόμενος τήν τε λείαν τῶν Ἀχαιῶν λυμαίνεται καὶ ἑαυτὸν ἀναιρεῖ. μετὰ ταῦτα Ὀδυσσεὺς λοχήσας Ἕλενον λαμβάνει, καὶ χρήσαντος περὶ τῆς ἁλώσεως τούτου Διομήδης ἐκ Λήμνου Φιλοκτήτην ἀνάγει. ἰαθεὶς δὲ οὗτος ὑπὸ Μαχάονος καὶ μονομαχήσας Ἀλεξάνδρῳ κτείνει· καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου καταικισθέντα ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες. μετὰ δὲ ταῦτα Δηίφοβος Ἑλένην γαμεῖ. καὶ Νεοπτόλεμον Ὀδυσσεὺς ἐκ Σκύρου ἀγαγὼν τὰ ὅπλα δίδωσι τὰ τοῦ πατρός· καὶ Ἀχιλλεὺς αὐτῷ φαντάζεται. Εὐρύπυλος δὲ ὁ Τηλέφου ἐπίκουρος

18–p. 107. 14 Iliados parvae enarratio. *codex*: U[1] f. 6 r.

τοῖς Τρωσὶ παραγίνεται, καὶ ἀριστεύοντα αὐτὸν ἀποκτείνει Νεοπτόλεμος. καὶ οἱ Τρῶες πολιορκοῦνται· καὶ Ἐπειὸς κατ' Ἀθηνᾶς προαίρεσιν τὸν δούρειον ἵππον κατασκευάζει· Ὀδυσσεύς τε αἰκισάμενος ἑαυτὸν κατάσκοπος εἰς Ἴλιον παραγίνεται, καὶ ἀναγνωρισθεὶς ὑφ' Ἑλένης περὶ τῆς ἁλώσεως τῆς πόλεως συντίθεται, κτείνας τέ τινας τῶν Τρώων ἐπὶ τὰς ναῦς ἀφικνεῖται. καὶ μετὰ ταῦτα σὺν Διομήδει τὸ παλλάδιον ἐκκομίζει ἐκ τῆς Ἰλίου. ἔπειτα εἰς τὸν δούρειον ἵππον τοὺς ἀρίστους ἐμβιβάσαντες τάς τε σκηνὰς καταφλέξαντες οἱ λοιποὶ τῶν Ἑλλήνων εἰς Τένεδον ἀνάγονται· οἱ δὲ Τρῶες τῶν κακῶν ὑπολαβόντες ἀπηλλάχθαι τόν τε δούρειον ἵππον εἰς τὴν πόλιν εἰσδέχονται, διελόντες μέρος τι τοῦ τείχους, καὶ εὐωχοῦνται ὡς νενικηκότες τοὺς Ἕλληνας.

## Ἰλίου περσίδος β̄ Ἀρκτίνου

Ἕπεται δὲ τούτοις Ἰλίου πέρσιδος βιβλία β̄ Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε. ὡς τὰ περὶ τὸν ἵππον οἱ Τρῶες ὑπόπτως ἔχοντες περιστάντες βουλεύονται, ὅ,τι χρὴ ποιεῖν· καὶ τοῖς μὲν δοκεῖ κατακρημνίσαι αὐτόν, τοῖς δὲ καταφλέγειν, οἱ δὲ ἱερὸν αὐτὸν ἔφασαν δεῖν τῇ Ἀθηνᾷ ἀνατεθῆναι· καὶ τέλος νικᾷ ἡ τούτων γνώμη. τραπέντες δὲ εἰς εὐφροσύνην εὐωχοῦνται ὡς ἀπηλλαγμένοι τοῦ πολέμου. ἐν αὐτῷ δὲ τούτῳ δύο δράκοντες ἐπιφανέντες τόν τε Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν· ἐπὶ δὲ τῷ τέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην· καὶ Σίνων τοὺς πυρσοὺς ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίητος. οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ τοῦ δουρείου ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις, καὶ πολλοὺς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι. καὶ Νεοπτόλεμος μὲν ἀποκτείνει Πρίαμον ἐπὶ τὸν τοῦ Διὸς τοῦ ἑρκείου βωμὸν καταφυγόντα.

15–p. 108. 13 Iliu persidos enarratio. *codex*: U[1] f. 6 v.

Μενέλαος δὲ ἀνευρὼν Ἑλένην ἐπὶ τὰς ναῦς κατάγει, Δηίφοβον φονεύσας. Κασσάνδραν δὲ Αἴας ὁ Ἰλέως πρὸς βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς ξόανον· ἐφ' ᾧ παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βουλεύονται τὸν Αἴαντα, ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασῴζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου. ἔπειτα ἐμπρήσαντες τὴν πόλιν Πολυξένην σφαγιάζουσιν ἐπὶ τὸν τοῦ Ἀχιλλέως τάφον. καὶ Ὀδυσσέως Ἀστυάνακτα ἀνελόντος Νεοπτόλεμος Ἀνδρομάχην γέρας λαμβάνει. καὶ τὰ λοιπὰ λάφυρα διανέμονται· Δημοφῶν δὲ καὶ Ἀκάμας Αἴθραν εὑρόντες ἄγουσι μεθ' ἑαυτῶν. ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες, καὶ φθορὰν αὐτοῖς ἡ Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται.

## Νόστων $\bar{\epsilon}$ Ἁγίου

Συνάπτει δὲ τούτοις τὰ τῶν Νόστων βιβλία ε' Ἁγίου Τροιζηνίου, περιέχοντα τάδε. Ἀθηνᾶ Ἀγαμέμνονα καὶ Μενέλαον εἰς ἔριν καθίστησι περὶ τοῦ ἔκπλου. Ἀγαμέμνων μὲν οὖν τὸν τῆς Ἀθηνᾶς ἐξιλασόμενος χόλον ἐπιμένει, Διομήδης δὲ καὶ Νέστωρ ἀναχθέντες εἰς τὴν οἰκείαν διασῴζονται· μεθ' οὓς ἐκπλεύσας ὁ Μενέλαος μετὰ πέντε νεῶν εἰς Αἴγυπτον παραγίνεται, τῶν λοιπῶν διαφθαρεισῶν νεῶν ἐν τῷ πελάγει. οἱ δὲ περὶ Κάλχαντα καὶ Λεοντέα καὶ Πολυποίτην πεζῇ πορευθέντες εἰς Κολοφῶνα Τειρεσίαν ἐνταῦθα τελευτήσαντα θάπτουσι. τῶν δὲ περὶ τὸν Ἀγαμέμνονα ἀποπλεόντων Ἀχιλλέως εἴδωλον ἐπιφανὲν πειρᾶται διακωλύειν προλέγον τὰ συμβησόμενα. εἶθ' ὁ περὶ τὰς Καφηρίδας πέτρας δηλοῦται χειμὼν καὶ ἡ Αἴαντος φθορὰ τοῦ Λοκροῦ. Νεοπτόλεμος δὲ Θέτιδος ὑποθεμένης πεζῇ ποιεῖται τὴν πορείαν· καὶ παραγενόμενος εἰς Θρᾴκην Ὀδυσσέα καταλαμβάνει ἐν τῇ Μαρωνείᾳ, καὶ τὸ λοιπὸν ἀνύει τῆς ὁδοῦ, καὶ τελευτήσαντα Φοίνικα θάπτει· αὐτὸς δὲ

14–p. 109. 4 Nostorum enarratio. *codex*: U[1] f. 4 r.

εἰς Μολοσσοὺς ἀφικόμενος ἀναγνωρίζεται Πηλεῖ. ἔπειτα Ἀγαμέμνονος ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀναιρεθέντος ὑπ' Ὀρέστου καὶ Πυλάδου τιμωρία, καὶ Μενελάου εἰς τὴν οἰκείαν ἀνακομιδή.

## Τηλεγονίας β̄ Εὐγάμμωνος

Μετὰ ταῦτά ἐστιν Ὁμήρου Ὀδύσσεια· ἔπειτα Τηλεγονίας βιβλία δύο Εὐγάμμωνος Κυρηναίου, περιέχοντα τάδε. οἱ μνήστορες ὑπὸ τῶν προσηκόντων θάπτονται· καὶ Ὀδυσσεὺς θύσας Νύμφαις εἰς Ἦλιν ἀποπλεῖ ἐπισκεψόμενος τὰ βουκόλια, καὶ ξενίζεται παρὰ Πολυξένῳ δῶρόν τε λαμβάνει κρατῆρα, καὶ ἐπὶ τούτῳ τὰ περὶ Τροφώνιον καὶ Ἀγαμήδην καὶ Αὐγέαν. ἔπειτα εἰς Ἰθάκην καταπλεύσας τὰς ὑπὸ Τειρεσίου ῥηθείσας τελεῖ θυσίας. καὶ μετὰ ταῦτα εἰς Θεσπρωτοὺς ἀφικνεῖται καὶ γαμεῖ Καλλιδίκην βασιλίδα τῶν Θεσπρωτῶν. ἔπειτα πόλεμος συνίσταται τοῖς Θεσπρωτοῖς πρὸς Βρύγους, Ὀδυσσέως ἡγουμένου· ἐνταῦθα Ἄρης τοὺς περὶ τὸν Ὀδυσσέα τρέπεται, καὶ αὐτῷ εἰς μάχην Ἀθηνᾶ καθίσταται· τούτους μὲν Ἀπόλλων διαλύει. μετὰ δὲ τὴν Καλλιδίκης τελευτὴν τὴν μὲν βασιλείαν διαδέχεται Πολυποίτης Ὀδυσσέως υἱός, αὐτὸς δ' εἰς Ἰθάκην ἀφικνεῖται· κἂν τούτῳ Τηλέγονος ἐπὶ ζήτησιν τοῦ πατρὸς πλέων, ἀποβὰς εἰς τὴν Ἰθάκην τέμνει τὴν νῆσον· ἐκβοηθήσας δ' Ὀδυσσεὺς ὑπὸ τοῦ παιδὸς ἀναιρεῖται κατ' ἄγνοιαν. Τηλέγονος δ' ἐπιγνοὺς τὴν ἁμαρτίαν τό τε τοῦ πατρὸς σῶμα καὶ τὸν Τηλέμαχον καὶ τὴν Πηνελόπην πρὸς τὴν μητέρα μεθίστησιν· ἡ δὲ αὐτοὺς ἀθανάτους ποιεῖ, καὶ συνοικεῖ τῇ μὲν Πηνελόπῃ Τηλέγονος, Κίρκῃ δὲ Τηλέμαχος.

5–27 Telegoniae enarratio. *codex*: $U^1$ f. 4 r. v.

# CYCLI POEMATVM FRAGMENTA

## Τιτανομαχία

*Testimonia*

C. I. G. Ital. et Sicil. 1292 ii. 9 *τιτανο]μαχιας ουχ ην τελεσις ο μηθυμναιος υ[πεθηκε.* Philo Byblius fr. 2. 28 (F. H. G. iii. 570) *ἔνθεν Ἡσίοδος οἵ τε κυκλικοὶ περιηχημένοι θεογονίας καὶ γιγαντομαχίας καὶ τιτανομαχίας ἔπλασαν ἰδίας καὶ ἐκτομάς, οἷς συμπεριφερόμενοι ἐνίκησαν τὴν ἀλήθειαν.*

Eumelo adscribunt scholiasta Ap. Rhod. i. 1195 (v. fr. 2), Hyginus ut vid. (fr. 3), Eumelo vel Arctino Athen. 22 C 277 D (v. frr. IV, V).

I. Philodem. de piet. col. 137. 10 = p. 61 Gomperz *ο δε τὴν τι|τανο] μαχιαν γρα|ψας εξ] αιθερος φησ|ιν]* . . . Epimerism. Hom. in *Ἄκμονα* (Anec. Oxon. ed. Cramer i. 75. 13) *Αἰθέρος δ' υἱὸς Οὐρανός, ὡς ὁ τὴν Τιτανομαχίαν γράψας.*

II. scholiasta in Ap. Rhod. i. 1165 *Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ τὸν Αἰγαίωνα Γῆς καὶ Πόντου φησὶ παῖδα, κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ τοῖς Τιτᾶσι συμμαχεῖν.* inde Eudocia 29. 4, 91. 20.

III. scholiasta Townleianus in Ψ 295 *καὶ ὁ τὴν Τιτανομαχίαν δὲ γράψας δύο ἄρρενάς φησιν Ἡλίου καὶ δύο θηλείας.* Hyginus Fab. 183 *hi funales sunt mares: foeminae iugariae Bronte, quae nos tonitrua appellamus, Sterope, quae fulgitrua. huic rei auctor est Eumelus Corinthius.*

*e libro II*

IV. Athenaeus 277 D. Zoilus *οἶδα* inquit *ὅτι ὁ τὴν Τιτανομαχίαν ποιήσας, εἴτ' Εὔμηλός ἐστιν ὁ Κορίνθιος*

ἢ Ἀρκτῖνος ἢ ὅστις δήποτε χαίρει ὀνομαζόμενος, ἐν τῷ δευτέρῳ οὕτως εἴρηκεν·

ἐν δ' αὐτῇ πλωτοὶ χρυσώπιδες ἰχθύες ἐλλοὶ
νήχοντες παίζουσι δι' ὕδατος ἀμβροσίοιο.

V. Athenaeus 22 C Εὔμηλος δὲ ὁ Κορίνθιος ἢ Ἀρκτῖνος τὸν Δία ὀρχούμενόν που παράγει λέγων

μέσσοισιν δ' ὠρχεῖτο πατὴρ ἀνδρῶν τε θεῶν τε.

VI. Clemens Alex. Strom. i. c. 15 § 3 Stählin ὁ δὲ Βηρύτιος Ἕρμιππος Χείρωνα τὸν Κένταυρον σοφὸν καλεῖ, ἐφ' οὗ καὶ ὁ τὴν Τιτανομαχίαν γράψας φησὶν ὡς πρῶτος οὗτος

εἴς τε δικαιοσύνην θνητῶν γένος ἤγαγε δείξας
ὅρκους καὶ θυσίας ἱλαρὰς καὶ σχήματ' Ὀλύμπου.

VII. Athenaeus 470 B Θεόλυτος δ' ἐν δευτέρῳ Ὥρων (F. H. G. iv. 515) ἐπὶ λέβητός φησιν αὐτὸν διαπλεῦσαι, τοῦτο πρώτου εἰπόντος τοῦ τὴν Τιτανομαχίαν ποιήσαντος.

VIII. Philodemus de pietat. col. 92. 24–31 = p. 43 Gomperz τας αρπυιας τα μη[λα φ]υλαττειν Ακο[υσιλ]αος, Επιμενιδης δε και τουτο και τας αυτας ειναι ταις Ερινυσιν· ο δε την Τι[τα]νομαχιαν [τα] μεν μηλα φυλατ[τειν . . . . .

locum e Gigantomachia a scholiasta Apollonii Rhod. i. 554 citatum ὁ δὲ τὴν Γιγαντομαχίαν ποιήσας φησὶν ὅτι Κρόνος μεταμορφωθεὶς εἰς ἵππον ἐμίγη Φιλύρᾳ τῇ Ὠκεανοῦ, διόπερ καὶ ἱπποκένταυρος ἐγεννήθη ὁ Χείρων· τούτου δὲ γυνὴ Χαρικλώ huc rettulerunt editores.

## Οἰδιπόδεια

*Testimonium*

C. I. G. Ital. et Sicil. 1292 ii. 11 τ]ην οιδιποδειαν την υπο κιναιθωνος του| . . . τες επων ουσαν ϛχ

Cinaethoni et Iliadem parvam ascripsit Hellanicus (p. 128).

I. Paus. ix. 5. 10 παῖδας δὲ ἐξ αὐτῆς [sc. τῆς Ἰοκάστης]

οὐ δοκῶ οἱ γενέσθαι, μάρτυρι Ὁμήρῳ χρώμενος ὃς ἐποίησεν ἐν Ὀδυσσείᾳ (λ 271–4)

μητέρα τ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην,
ἣ μέγα ἔργον ἔρεξεν ἀιδρείῃσι νόοιο
γημαμένη ᾧ υἱεῖ· ὁ δ' ὃν πατέρ' ἐξεναρίξας
γῆμεν· ἄφαρ δ' ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισιν.

πῶς οὖν ἐποίησαν ἀνάπυστα ἄφαρ εἰ δὴ τέσσαρες ἐκ τῆς Ἐπικάστης ἐγένοντο παῖδες τῷ Οἰδίποδι; ἐξ Εὐρυγανείας δὲ τῆς Ὑπέρφαντος ἐγεγόνεσαν· δηλοῖ δὲ καὶ ὁ τὰ ἔπη ποιήσας ἃ Οἰδιπόδια ὀνομάζουσι.

II. schol. cod. Mon. 560 in Eur. Phoen. 1760 Schwartz: οἱ τὴν Οἰδιποδίαν γράφοντες, ⟨ἄλλος δ'⟩ οὐδεὶς οὕτω φησί, περὶ τῆς Σφιγγός

ἀλλ' ἔτι κάλλιστόν τε καὶ ἱμεροέστατον ἄλλων
παῖδα φίλον Κρείοντος ἀμύμονος Αἵμονα δῖον . . .

excidit Sphinx.

## Θηβαΐς

### *Testimonia*

Certamen Hom. et Hes. v. 265 ὁ δὲ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ͵ζ (ζ cod.), ἧς ἡ ἀρχὴ

Ἄργος ἄειδε θεὰ πολυδίψιον ἔνθεν ἄνακτες,

εἶτα Ἐπιγόνους, ἔπη ͵ζ (ζ cod.) ὧν ἡ ἀρχὴ

νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα Μοῦσαι.

φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι.

C. I. G. Ital. et Sicil. 1292. 12 . . τες επων ουσαν ϛχ υποθησομεν θηβαιδα |
. . . ν τον μιλησιον λεγουσιν επων οντα θφ|

Paus. ix. 9. 5 ἐποιήθη δὲ καὶ ἐς τὸν πόλεμον τοῦτον καὶ ἔπη Θηβαΐς· τὰ δὲ ἔπη ταῦτα Καλλῖνος ⟨fr. 6⟩ ἀφικόμενος αὐτῶν ἐς μνήμην ἔφησεν Ὅμηρον τὸν ποιήσαντα εἶναι. Καλλίνῳ δὲ πολλοί τε καὶ ἄξιοι λόγου κατὰ ταὐτὰ ἔγνωσαν·

ἐγὼ δὲ τὴν ποίησιν ταύτην μετά γε Ἰλιάδα καὶ τὰ ἔπη τὰ ἐς Ὀδυσσέα ἐπαινῶ μάλιστα.

I. Ἄργος ἄειδε θεὰ πολυδίψιον ἔνθεν ἄνακτες
poematis principium; v. Certamen 265 iam laudatum.

II. Athen. 465 E ὁ δὲ Οἰδίπους δι' ἐκπώματα τοῖς υἱοῖς κατηράσατο, ὡς ὁ τὴν κυκλικὴν Θηβαίδα πεποιηκώς φησιν, ὅτι αὐτῷ παρέθηκαν ἔκπωμα ὃ ἀπηγορεύκει, λέγων οὕτως

αὐτὰρ ὁ διογενὴς ἥρως ξανθὸς Πολυνείκης
πρῶτα μὲν Οἰδιπόδῃ καλὴν παρέθηκε τράπεζαν
ἀργυρέην Κάδμοιο θεόφρονος· αὐτὰρ ἔπειτα
χρύσεον ἔμπλησεν καλὸν δέπας ἡδέος οἴνου.
αὐτὰρ ὅ γ' ὡς φράσθη παρακείμενα πατρὸς ἑοῖο
τιμήεντα γέρα, μέγα οἱ κακὸν ἔμπεσε θυμῷ,
αἶψα δὲ παισὶν ἑοῖσι μετ' ἀμφοτέροισιν ἐπαρὰς
ἀργαλέας ἠρᾶτο· θεῶν δ' οὐ λάνθαν' ἐρινύν·
ὡς οὔ οἱ πατρώϊ' ἐν ἠθείῃ φιλότητι
δάσσαιντ', ἀμφοτέροισι δ' ἀεὶ πόλεμοί τε μάχαι τε . . .

Athenaeum exscr. Eust. 1684. 7.

III. schol. Laur. in Soph. O. C. 1375 Papp. τοῦτο ἅπαξ ἅπαντες οἱ πρὸ ἡμῶν παραλελοίπασιν, ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως· οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον, ἐκλαθόμενοί ποτε εἴτε κατὰ ῥᾳστώνην εἴτε ἐξ ὁτουοῦν ἰσχίον αὐτῷ ἔπεμψαν, ὁ δὲ μικροψύχως καὶ τελέως ἀγενῶς ὅμως γοῦν ἀρὰς ἔθετο κατ' αὐτῶν δόξας κατολιγωρεῖσθαι· ταῦτα ὁ τὴν κυκλικὴν Θηβαίδα ποιήσας ἱστορεῖ οὕτως·

II. 1 αὐτὰρ ὁ διογενὴς πολυνείκης cit. schol. A Π 57  8 θεὸν codd. corr. Meineke  9 πατρωιαν εἴη φιλότητι cod. A Athen. corr. Meineke: ἐνηέι ἐν Ribbeck, possis et ἑταιρείῃ cl. h. Merc. 58  10 δάσαντο cod. corr. Hermann

*ἰσχίον ὡς ἐνόησε χαμαὶ βάλε εἶπέ τε μῦθον·*
*ὤμοι ἐγώ, παῖδες μὲν ὀνειδείοντες ἔπεμψαν . . . . .*
*εὖκτο Διὶ βασιλῆι καὶ ἄλλοις ἀθανάτοισι*
*χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι Ἄιδος εἴσω.* 4

IV. Paus. viii. 25. 8 *ἐπάγονται δὲ ἐξ Ἰλιάδος ἔπη καὶ ἐκ Θηβαΐδος μαρτύριά σφισιν εἶναι τῷ λόγῳ, ἐν μὲν Ἰλιάδι ἐς αὐτὸν Ἀρείονα πεποιῆσθαι* [Ψ 346], *ἐν δὲ τῇ Θηβαΐδι ὡς Ἄδραστος ἔφευγεν ἐκ Θηβῶν*

*εἵματα λυγρὰ φέρων σὺν Ἀρείονι κυανοχαίτῃ.*

*αἰνίσσεσθαι οὖν ἐθέλουσι τὰ ἔπη Ποσειδῶνα Ἀρείονι εἶναι πατέρα.* schol. A B Ψ 346 *ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς.*

V. Pindarus Ol. vi. 15

*ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων Ταλαιονίδας*
*εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος· ποθέω στρατιᾶς*
*ὀφθαλμὸν ἐμᾶς*
*αμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι.*

schol. cod. Ambros. C 222 inf. *ὁ Ἀσκληπιάδης* ⟨cf. F. H. G. iii. 299, Susemihl *Gesch. Alex. Litt.* ii. 19 n. 100⟩ *φησὶ ταῦτα εἰληφέναι ἐκ τῆς κυκλικῆς Θηβαΐδος.*

VI. Apoll. Biblioth. i. 74 *Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου. ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίοδος δὲ κτλ.* (fr. 73 R).

VII. Paus. ix. 18. 6 *πρὸς δὲ τῇ πηγῇ τάφος ἐστὶν Ἀσφοδίκου· καὶ ὁ Ἀσφόδικος οὗτος ἀπέκτεινεν ἐν τῇ μάχῃ τῇ πρὸς Ἀργείους Παρθενοπαῖον τὸν Ταλαοῦ, καθὰ οἱ Θηβαῖοι λέγουσιν, ἐπεὶ τά γε ἐν Θηβαΐδι ἔπη τὰ ἐς τὴν Παρθενοπαίου τελευτὴν Περικλύμενον τὸν ἀνελόντα φησὶν εἶναι.*

III. ad v. 2 signum solitum, quod idem ac *ζήτει* valet, apposuit scriba, fortasse ob *ὀνειδείοντες*; lacunam statuit Hermann 3 *βασιλεῖ* cod. corr. Triclinius 4 *καταβῆναι* cod. corr. Lascaris

## EPIGONI

## Ἐπίγονοι

*Testimonium*

Certamen Hom. et Hes. 265 ὁ δὲ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα . . . εἶτα Ἐπιγόνους [ἐπειγομένου cod. em. Barnes], ἔπη ,ζ (ζ cod.) ἧς ἡ ἀρχὴ

νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα Μοῦσαι.

φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. Herodoti testimonium vide ad fr. 3. Antimacho poema adscribit schol. Ar. Pac. 1270, v. fr. 1. Teiumne voluit? (quem floruisse ol. vi. 3 tradit Plut. vit. Romul. 12, fr. 2 K).

I. νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα Μοῦσαι.

operis principium: v. Certamen iam laudatum. parodia exstat ap. Aristophanem Pac. 1270

ΠΑ. Λ. νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα ΤΡΥ. παῦσαι
ὁπλοτέρους ᾄδων.

ibi schol. ἀρχὴ δὲ τῶν Ἐπιγόνων Ἀντιμάχου.

II. Photius Lex. et Suidas in v. Τευμησία· περὶ τῆς Τευμησίας ἀλώπεκος οἱ τὰ Θηβαικὰ γεγραφηκότες (γεγραφότες Suid.) ἱκανῶς ἱστορήκασι, καθάπερ Ἀριστόδημος (F.H.G. iii. 309)· ἐπιπεμφθῆναι μὲν γὰρ ὑπὸ θεῶν τὸ θηρίον τοῦτο τοῖς Καδμείοις· διὸ τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ Κάδμου γεγονότας. Κέφαλον δὲ φασὶ τὸν Δηιόνος Ἀθηναῖον ὄντα καὶ κύνα κεκτημένον ὃν οὐδὲν διέφευγεν τῶν θηρίων, ὡς ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα Πρόκριν (Πρόκνην Suid.), καθηράντων αὐτὸν τῶν Καδμείων, διώκειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός· καταλαμβανομένους δὲ περὶ τὸν Τευμησσὸν λίθους γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκα. εἰλήφασι δ' οὗτοι τὸν μῦθον ἐκ τοῦ ἐπικοῦ (ἐνικοῦ Phot.) κύκλου.

III. Herod. iv. 32 ἀλλ' Ἡσιόδῳ (fr. 209 R) μέν ἐστι

περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ ἐόντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε.

IV. schol. Ap. Rhod. i. 308 οἱ δὲ τὴν Θηβαΐδα γεγραφότες φασὶν ὅτι ὑπὸ τῶν Ἐπιγόνων ἀκροθίνιον ἀνετέθη Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα, καὶ κατὰ χρησμὸν Ἀπόλλωνος ἐξερχομένη περιέπεσε Ῥακίῳ τῷ Λέβητος υἱῷ Μυκηναίῳ τὸ γένος. καὶ γημαμένη αὐτῷ· τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσῃ· ἐλθοῦσα εἰς Κολοφῶνα καὶ ἐκεῖ δυσθυμήσασα ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν.

fortasse ex Epigonis sumpsit Aristophanes et quos post fr. 1 citat versus:

Pac. 1282 ΠΑ. Λ. ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα καὐχένας ἵππων<br>
ἔκλυον ἱδρώοντας ἐπεὶ πολέμου ἐκόρεσθεν.<br>
1286 θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι ΤΡΥ. ἄσμενοι οἶμαι.<br>
ΠΑ. Λ. πύργων δ' ἐξεχέοντο βοὴ δ' ἄσβεστος ὀρώρει.

de quibus tacet quidem scholiasta, sed idem Certaminis auctor ita 1282, 1283 adhibet (107, 108) ut 1282 Hesiodo adscribat, lecto tamen δεῖπνον ἔπειθ' εἵλοντο in initio.

## CYPRIA

### *Testimonia*

Herodoti ii. 117 v. fr. viii, Athenaei 35 C, 334 B, 682 C v. frr. iv, vi, x, Clementis Alex. Protr. ii. 30. 5 v. fr. v, Strom. vi. 2. 19. 1 v. fr. xxii, Pausaniae iv. 2. 7 v. fr. xiv, x. 26. 1 v. fr. xix, 26. 4 v. fr. xi, 31. 2 v. fr. xviii.

Aelianus Var. Hist. ix. 15 λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν [ὁ Ὅμηρος] ἐκδοῦναι τὴν θυγατέρα ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια· καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος ⟨fr. 265⟩.

Aristoteles Poet. c. 23. 1459 A 30 οἱ δ᾿ ἄλλοι [sc. praeter Homerum] περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον, οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα. τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαί.

Lucius Tarrhaeus ut vid. in cod. Mus. Brit. add. 5118 ap. Cramer. An. Ox. iv. 315–38 ἕκτον κρίσις ποιημάτων, πολλὰ γὰρ νοθευόμενά ἐστιν—ὁμοίως τὰ Κυπριακὰ καὶ ὁ Μαργίτης.

schol. Clem. Alex. Protrept. 26 Pott ix. 782 Migne Κύπρια ποιήματά εἰσι τὰ τοῦ κύκλου· περιέχει δὲ ἁρπαγὴν Ἑλένης· ὁ δὲ ποιητὴς αὐτῶν ἄδηλος· εἷς γάρ ἐστι τῶν κυκλικῶν. κυκλικοὶ δὲ καλοῦνται ποιηταὶ οἱ τὰ κύκλῳ τῆς Ἰλιάδος ἢ τὰ πρῶτα ἢ τὰ μεταγενέστερα ἐξ αὐτῶν τῶν Ὁμηρικῶν συγγράψαντες. Suidas in Ὅμηρος 29 γήμας δ᾿ ἐν Χίῳ Ἀρησιφόνην τὴν Γνώτορος υἱοῦ Κυμαίου θυγατέρα ἔσχεν υἱεῖς δύο καὶ θυγατέρα, ἣν ἔγημεν Στασῖνος ὁ Κύπριος. 37 ἀναφέρεται δ᾿ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα . . . κύκλος, ὕμνοι, Κύπρια.

Tzetzes Chil. xiii. 636

Σερίφων καὶ Θεόλαος υἱοὶ δὲ τοῦ Ὁμήρου,
θυγάτηρ Ἀρσιφόνη δέ, ἣν ἔγημε Στασῖνος,
Στασῖνος ὁ τὰ Κύπρια συγγράμματα ποιήσας
ἅπερ οἱ πλείους λέγουσιν Ὁμήρου πεφυκέναι,
εἰς προῖκα δὲ σὺν χρήμασι δοθῆναι τῷ Στασίνῳ.

I. scholl. A, Vind. 61, minn. in A 5 Διὸς βουλὴν] οἱ μὲν τὴν εἱμαρμένην ἀπέδοσαν, ἄλλοι δὲ ἐξεδέξαντο δρῦν ἱερὰν μαντικὴν τοῦ Διὸς ἐν Δωδωναίῳ ὄρει τῆς Θεοπρωτίας, ὡς αὐτὸς Ὅμηρος λέγει ἐν Ὀδυσσείᾳ . . . [ξ 327]. ἄλλοι δ᾿ ἀπὸ ἱστορίας τινὸς εἶπον εἰρηκέναι τὸν Ὅμηρον. φασὶ γὰρ τὴν γῆν βαρουμένην ὑπ᾿ ἀνθρώπων πολυπληθίας, μηδεμιᾶς ἀνθρώπων οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους· τὸν δὲ Δία πρῶτον μὲν εὐθὺς ποιῆσαι Θηβαικὸν πόλεμον, δι᾿ οὗ πολλοὺς πάνυ ἀπώλεσεν· ὕστερον

δὲ πάλιν συμβούλῳ τῷ Μώμῳ χρησάμενος, ἣν Διὸς βουλὴν Ὅμηρός φησιν, ἐπειδὴ οἷός τε ἦν κεραυνοῖς ἢ κατακλυσμοῖς πάντας διαφθείρειν. ὅπερ τοῦ Μώμου κωλύσαντος, ὑποθεμένου δὲ αὐτῷ τὴν Θέτιδος θνητογαμίαν καὶ θυγατέρος καλῆς γένναν, ἐξ ὧν ἀμφοτέρων πόλεμος Ἕλλησι τε καὶ βαρβάροις ἐγένετο, ἀφ' οὗ χρόνου συνέβη κουφισθῆναι τὴν γῆν, πολλῶν ἀναιρεθέντων. ἡ δὲ ἱστορία παρὰ Στασίνῳ (ταρσίνω Vind. 61) τῷ τὰ Κύπρια πεποιηκότι, εἰπόντι οὕτως

ἦν ὅτε μυρία φῦλα κατὰ χθόνα πλαζόμεν' ἀνδρῶν
. . . . . . . . βαθυστέρνου πλάτος αἴης.
Ζεὺς δὲ ἰδὼν ἐλέησε καὶ ἐν πυκιναῖς πραπίδεσσι
σύνθετο κουφίσαι ἀνθρώπων παμβώτορα γαῖαν,
ῥιπίσσας πολέμου μεγάλην ἔριν Ἰλιακοῖο,
ὄφρα κενώσειεν θανάτου βάρος· οἱ δ' ἐνὶ Τροίῃ
ἥρωες κτείνοντο· Διὸς δ' ἐτελείετο βουλή.

II. voll. Hercul. coll. alt. viii. 105 [ὁ δὲ τ]ὰ Κύπ[ρια ποιήσας Ἥ]ραι χαρ[ιζομένη]ν φεύγειν αὐ[τοῦ τὸ]ν γάμον, Δ[ία δὲ ὀμ]όσαι χολω[θέντ]α διότι θνη[τῶι συ]νοικίσει. κα[ὶ παρ' Ἡ]σιόδωι ⟨fr. 80⟩ δὲ κε[ῖται τ]ὸ παραπλήσ[ιον.

attulit Reitzenstein *Hermes* xxxv. 73 sq., coll. Apollodor. iii. 168 sq., Apoll. Rhod. iv. 790 sq.

III. schol. A et minn. in Π 140 προκατεσκεύακε μόνον αὐτῷ τὸ δόρυ σῴζεσθαι διὰ τὸ ξύλα μὴ ἐργάζεσθαι τὸν Ἥφαιστον. κατὰ γὰρ τὸν Πηλέως καὶ Θέτιδος γάμον οἱ

I. Cf. et schol. Eur. Orest. 1641 ἱστορεῖται ὅτι ἡ γῆ βαρυνομένη τῷ πλήθει τῶν ἀνθρώπων ἠξίωσε τὸν Δία ἐλαφρῦναι αὐτῆς τὸ βάρος : sim. schol. cod. Barocc. 162 in A 5 (An. Ox. iv. 405) 1 πλαζόμενα codd. corr. Barnes : λανήμενα πλαζόμενα J. Nic. Loensis in Gruteri *Lampas sive Fax Artium Liberalium* Francofort. 1605 vi. 401, sc. e glossa codicis alicuius πλαζόμενα (ss. λανήμενα) 2 ἐκπάγλως Schneidewin, ἐβάρυνε Boissonade in lacuna βαρυστέρνου codd. : βαθυ- scholl. min. ed. 1517 3 ἄλγησε Vind. 61 4 κουφίσαι παμβώτορα γαίης ἀν̅ω̅ν̅ A : παμβότειραν γαίην ἀνθρώπων Vind. 61 5 ῥιπίσαι τε A : ῥιπίσαι Vind. 61 (om. πολέμου) ἰλιακοῦ Vind. 61 6 θανάτῳ scholl. min. οἱ δὲ ἐν τροίᾳ Vind. 61 scholium codicis Vind. 61 protulit S. in censura operis Duentzerani *Allgemeine Literatur-Zeitung*, Halle u. Leipzig, 1840, p. 516.

III. 2 αὐτὸ codd. em. Cobet 3 γὰρ om. scholl. min.

θεοὶ συναχθέντες εἰς τὸ Πήλιον ἐπ' εὐωχίᾳ ἐκόμιζον Πηλεῖ δῶρα, Χείρων δὲ μελίαν εὐθαλῆ τεμὼν εἰς δόρυ παρέσχεν. φασὶ μὲν Ἀθηνᾶν ξέσαι αὐτό, Ἥφαιστον δὲ κατασκευάσαι. τούτῳ δὲ τῷ δόρατι καὶ Πηλεὺς ἐν ταῖς μάχαις ἠρίστευσε καὶ μετὰ ταῦτα Ἀχιλλεύς. ἡ ἱστορία παρὰ τῷ τὰ Κύπρια ποιήσαντι.

IV. *e libro primo*

Athen. 682 D ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται ὁ μὲν τὰ Κύπρια ἔπη πεποιηκὼς Ἡγησίας ἢ Στασῖνος· Δημοδάμας γὰρ ὁ Ἁλικαρνασσεὺς ἢ Μιλήσιος ἐν τῷ περὶ Ἁλικαρνασσοῦ ⟨F. H. G. ii. 444⟩ Κύπρια Ἁλικαρνασσέως δὲ αὐτὰ εἶναί φησι ποιήματα· λέγει δ' οὖν ὅστις ἐστὶν ὁ ποιήσας αὐτὰ ἐν τῷ α' οὑτωσί·

εἵματα μὲν χροὶ ἕστο τά οἱ Χάριτές τε καὶ Ὧραι
ποίησαν καὶ ἔβαψαν ἐν ἄνθεσιν εἰαρινοῖσι,
οἷα φοροῦσ' Ὧραι, ἔν τε κρόκῳ ἔν θ' ὑακίνθῳ
ἔν τε ἴῳ θαλέθοντι ῥόδου τ' ἐνὶ ἄνθεϊ καλῷ
ἡδέι νεκταρέῳ, ἔν τ' ἀμβροσίαις καλύκεσσι
ἄνθεσι ναρκίσσου καλλιρρόου·
δ' οἶ' Ἀφροδίτη
ὥραις παντοίαις τεθυωμένα εἵματα ἕστο.

V. pergit Athenaeus 682 F οὗτος ὁ ποιητὴς καὶ τὴν τῶν στεφάνων χρῆσιν εἰδὼς φαίνεται δι' ὧν λέγει

ἡ δὲ σὺν ἀμφιπόλοισι φιλομειδὴς Ἀφροδίτη . . .
πλεξάμεναι στεφάνους εὐώδεας, ἄνθεα γαίης,
ἂν κεφαλαῖσιν ἔθεντο θεαὶ λιπαροκρήδεμνοι,

III. 6 μὲν] δὲ scholl. min. Ἀθηνᾶν μὲν scholl. min. 7 ἀρίστευε scholl. min. 9 πεποιηκότι scholl. min.

IV. impugnavit Demodamas eos qui e Cypriorum titulo poetam comprobabant Cyprium, velut e Naupactiis carminibus Naupactium alii (Paus. x. 38. 11). Κυπρία ante Ἁλ. scripsit Hecker : ad sensum quidem μὲν post Κύπρια suppleas 1 ἱμάτια cod. em. Canter χροιᾶς τότε οἱ cod. em. Meineke 6 ἄνθεσι et καλλιρρόου dubia : καὶ λειρίου Meineke 7 δ' οια cod. : τοῖ' Meineke : δῖ' Casaubon lac. stat. Köchly

V. lacunam post v. 1 pos. Meineke

Νύμφαι καὶ Χάριτες, ἅμα δὲ χρυσῇ Ἀφροδίτῃ,
καλὸν ἀείδουσαι κατ᾽ ὄρος πολυπιδάκου Ἴδης.

VI. Clemens Alex. Protrept. ii. 30. 5 Stählin *προσίτω δὲ καὶ ὁ τὰ Κυπριακὰ ποιήματα γράψας*

*Κάστωρ μὲν θνητός, θανάτου δέ οἱ αἶσα πέπρωται,*
*αὐτὰρ ὅ γ᾽ ἀθάνατος Πολυδεύκης, ὄζος Ἄρηος.*

VII. Athen. 334 B *οὐ λανθάνει δέ με . . . καὶ ὅτι ὁ τὰ Κύπρια ποιήσας ἔπη, εἴτε Κύπριός τις ἐστιν ἢ Στασῖνος ἢ ὅστις δήποτε χαίρει ὀνομαζόμενος, τὴν Νέμεσιν ποιεῖ διωκομένην ὑπὸ Διὸς καὶ εἰς ἰχθὺν μεταμορφουμένην διὰ τούτων·*

*τοὺς δὲ μέτα τριτάτην Ἑλένην τέκε θαῦμα βροτοῖσι . . .*
*τήν ποτε καλλίκομος Νέμεσις φιλότητι μιγεῖσα*
*Ζηνὶ θεῶν βασιλῆϊ τέκε κρατερῆς ὑπ᾽ ἀνάγκης·*
*φεῦγε γάρ, οὐδ᾽ ἔθελεν μιχθήμεναι ἐν φιλότητι*
*πατρὶ Διὶ Κρονίωνι· ἐτείρετο γὰρ φρένας αἰδοῖ*
*καὶ νεμέσει· κατὰ γῆν δὲ καὶ ἀτρύγετον μέλαν ὕδωρ*
*φεῦγε, Ζεὺς δ᾽ ἐδίωκε· λαβεῖν δ᾽ ἐλιλαίετο θυμῷ·*
*ἄλλοτε μὲν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης*
*ἰχθύϊ εἰδομένη πόντον πολὺν ἐξορόθυνεν,*
*ἄλλοτ᾽ ἀν᾽ ὠκεανὸν ποταμὸν καὶ πείρατα γαίης,*
*ἄλλοτ᾽ ἀν᾽ ἤπειρον πολυβώλακα· γίγνετο δ᾽ αἰεὶ*
*θηρί᾽, ὅσ᾽ ἤπειρος αἰνὰ τρέφει, ὄφρα φύγοι νιν.*

VIII. Paus. iii. 16. 1 *πλησίον δὲ Ἱλαείρας καὶ Φοίβης ἐστὶν ἱερόν· ὁ δὲ ποιήσας τὰ ἔπη τὰ Κύπρια θυγατέρας αὐτὰς Ἀπόλλωνός φησιν εἶναι.*

cf. Steph. in Ar. Rhet. ii. 23 (p. 306 Rabe) *Τυνδάρεως καὶ Ἀφαρεὺς καὶ Λεύκιππος ἀδελφοί. ὁ δὲ Λεύκιππος εἶχε θυγατέρας δύο, Φοίβην καὶ Ἱλάειραν, ἃς οἱ Διόσκουροι ἔτι παρθένους οὔσας ἐξήρπασαν· εἰ γοῦν μὴ οἱ Τυνδαρίδαι πρῶτοι περὶ τὰς ἐξαδέλφας αὐτῶν ἐμάνησαν οὐδ᾽ ἂν Ἀλέξανδρος περὶ τὴν αὐτῶν ἀδελφήν. οὕτως ἐν τῷ*

VII. 1 *τοῖς* cod. em. Meineke. lacunam stat. Welcker

γάμμα ⟨sc. ad Iliadis Γ⟩ τὸ λεξικὸν τὸ Ὁμηρικὸν λέγει, εἰ καὶ ὁ Λυκόφρων ⟨546 sqq.⟩ ἄλλως λέγει περί τε τούτων καὶ περὶ τῶν τοῦ Ἀφαρέως υἱῶν Ἴδα καὶ Λυγκέως.

cf. scholl. in Γ 243.

IX. Schol. Eur. Andr. 898 Λυσίμαχος ⟨fr. 18 F. H. G. iii. 340⟩ καὶ ἄλλοι τινὲς ἱστοροῦσιν γενέσθαι ἐξ Ἑλένης καὶ Νικόστρατον. ὁ δὲ τὰς Κυπριακὰς ἱστορίας συντάξας Πλεισθένην φησί, μεθ' οὗ εἰς Κύπρον ἀφῖχθαι καὶ τὸν ἐξ αὐτῆς τεχθέντα Ἀλεξάνδρῳ Ἄγανον.

X. scholl. A minn. ad Γ 242 Ἑλένη ἁρπασθεῖσα ὑπὸ Ἀλεξάνδρου ἀγνοοῦσα τὸ συμβεβηκὸς μεταξὺ τοῖς ἀδελφοῖς Διοσκούροις κακόν, ὑπολαμβάνει δι' αἰσχύνης αὐτῆς μὴ πεπορεῦσθαι τούτους εἰς Ἴλιον, ἐπειδὴ προτέρως ὑπὸ Θησέως ἡρπάσθη, καθὼς προείρηται· διὰ γὰρ τὴν τότε γενομένην ἁρπαγὴν Ἄφιδνα πόλις Ἀττικῆς πορθεῖται, καὶ τιτρώσκεται Κάστωρ ὑπὸ Ἀφίδνου τοῦ τότε βασιλέως κατὰ τὸν δεξιὸν μηρόν. οἱ δὲ Διόσκουροι Θησέως μὴ τυχόντες λαφυραγωγοῦσι τὰς Ἀθήνας (ἀφίδνας sch. min.). ἡ ἱστορία παρὰ τοῖς Πολεμωνίοις ⟨fr. 10 F. H. G. iii. 118⟩ ἢ τοῖς [ἤτοι sch. minn.] κυκλικοῖς, καὶ ἀπὸ μέρους παρὰ Ἀλκμᾶνι τῷ λυρικῷ ⟨deest apud P. L. G. iii⟩.

ἡ ἱστορία παρὰ κυκλικοῖς sola habet cod. Leidensis Voss. 64 teste Valckenaerio, τελαμωνίοις pro πολεμωνίοις cod. Vat. 915 auctore Baumeistero Philol. xi. 1856. 168.

XI. schol. Pind. Nem. x. 114 ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥμενον, ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ. ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ τὸν Κάστορα ἐν τῇ δρυὶ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως· τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος ⟨Bibl. iii. 136⟩ κατηκολούθησε. πρὸς οὓς φησι Δίδυμος ἀμφοτέρων ὑπὸ τῇ δρυὶ λοχώντων τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε. μήποτε οὖν δεῖ φησὶν ἀναγινώσκειν τὴν παραλήγουσαν συλλαβὴν ὀξυτόνως ἡμένος ἢ διὰ τοῦ ω̄ς ἡμένως, ἵνα κατ' ἀμφοῖν ἀκούηται. ὁ δὲ Λυγκεὺς δρυὸς ἐν

στελέχει ἡμένος ἀντὶ τοῦ ἡμένους δηλονότι τοὺς Διοσκούρους, ὡς ἀελλόπος καὶ τρίπος, οὐχ ἕδος ἐστι γεραιέ, ἀντὶ τοῦ οὐχ ἕδους ⟨Λ 648⟩. παρατίθενται δὲ καὶ τὸν τὰ Κύπρια γράψαντα οὕτω λέγοντα·

αἶψα δὲ Λυγκεὺς
Ταΰγετον προσέβαινε ποσὶν ταχέεσσι πεποιθώς.
ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν
Ταντολίδου Πέλοπος, τάχα δ' εἴσιδε κύδιμος ἥρως
δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης
Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα·
νύξε δ' ἄρ' [ἄγχι στὰς . . .

XII. Herod. ii. 117 κατὰ ταῦτα δὲ τὰ ἔπεα καὶ τοῦτο τὸ χωρίον [Z 289 sqq. δ 227 sqq. 351 sq.] οὐκ ἥκιστα ἀλλὰ μάλιστα δηλοῖ ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι ἀλλ' ἄλλου τινός. ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων Ἑλένην, εὐαέι τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι [Z l.c.] λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν. vide Eust. 643. 1–5.

XIII. Athen. 35 C

οἶνόν τοι Μενέλαε θεοὶ ποίησαν ἄριστον
θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας

ὁ τῶν Κυπρίων τοῦτό φησι ποιητής, ὅστις ἂν εἴη. eadem Suidas in Οἶνος (ὁ δὲ Κύπριός φησι ποιητής), Eust. 1623. 44. Theognis 883 τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας.

XIV. Paus. x. 26. 4 τοῦ δὲ Ἀχιλλέως τῷ παιδὶ Ὅμηρος

XI. vv. 1–6 hab. et Tzetzes in Lycophr. 511 (τὴν δ' ἱστορίαν τῶν Διοσκούρων καὶ Στασῖνος ὁ τὰ Κύπρια πεποιηκὼς γράφει), Chiliad. ii. 711 4 ὄμβριμος pro κύδιμος Tzetz. Chil. 5 δεινοῖς om. schol. Pind. (εἰν ed. scholl. Romana 1515) 7 νύξε δ' ἄρ' om. Tzetzes. ἄγχι στὰς ex ἀγχίστωρ, quod pro vulgato ὁ κάστωρ in scholio quod insequitur dat ed. Romana, Heyne. cf. et Philodem. de piet. col. 34 C καστο|ρα δ]ε υπο ειδα του | αφαρ]εω κατηκ|οντισθαι γεγρα[φεν . . . . . . . . . . . . . . .

*μὲν Νεοπτόλεμον ὄνομα ἐν ἁπάσῃ οἱ τίθεται τῇ ποιήσει· τὰ δὲ Κύπρια ἔπη φησὶν . . . . ὑπὸ Φοίνικος αὐτῷ τεθῆναι, ὅτι Ἀχιλλεὺς ἡλικίᾳ ἔτι νέος πολεμεῖν ἤρξατο.*

XV. schol. Laur. in Soph. El. 157 *ἢ Ὁμήρῳ ἀκολουθεῖ εἰρηκότι τὰς τρεῖς θυγατέρας τοῦ Ἀγαμέμνονος, ἢ ὡς ὁ τὰ Κύπρια δ' φησίν, Ἰφιγένειαν καὶ Ἰφιάνασσαν.*

*εἰρηκότι* *ζῆν* Laur. 2725 | *τρεῖς τὰς* Lascaris | *δ'*] *διαφόρους* perperam Elmsley : tres Homerus, quattuor filias Agamemnoni imputat Stasinus, scilicet et Iphigeniam et Iphianassam.

XVI. *Les Papyrus Grecs du Musée du Louvre*, Paris 1866, papyrus II. col. 11. v. 27 *εἰ Ἀγαμέμνων οὕτως ἔφασκεν*

*οὐκ ἐφάμην Ἀχιλῆι χολωσέμεν ἄλκιμον ἦτορ*
*ὧδε μάλ' ἐκπάγλως, ἐπεὶ μάλα μοι φίλος ἦεν* (*ηην* pap.)

*ἀξίωμα ἐστίν.*

Cypriis versus attribuit Letronne (*Journal des Savants*, 1838, p. 322), fortasse recte, opus rhetoricum Chrysippo Bergk.

XVII. Paus. iv. 2. 7 *Λυγκέως μὲν δὴ παῖδα οὐκ ἴσμεν γενόμενον, Ἴδα δὲ Κλεοπάτραν θυγατέρα ἐκ Μαρπήσσης ἣ Μελεάγρῳ συνῴκησεν. ὁ δὲ τὰ ἔπη ποιήσας τὰ Κύπρια Πρωτεσιλάου φησίν, ὃς ὅτε κατὰ τὴν Τρῳάδα ἔσχον Ἕλληνες ἀποβῆναι πρῶτος ἐτόλμησε, Πρωτεσιλάου τούτου τὴν γυναῖκα Πολυδώραν μὲν τὸ ὄνομα, θυγατέρα δὲ Μελεάγρου φησὶν εἶναι τοῦ Οἰνέως.*

XVIII. schol. T in Π 57 *πόλιν εὐτείχεα πέρσας* Achilles unde Briseida cepit] *τὴν Πήδασον οἱ τῶν Κυπρίων ποιηταί, αὐτὸς δὲ Λυρνησσόν* ⟨B 690⟩.

XIX. Eust. 119. 4 in A 366 *ἱστοροῦσι δέ τινες ὅτι ἐκ τῶν Ὑποπλακίων Θηβῶν ἡ Χρυσηὶς ἐλήφθη, οὔτε καταφυγοῦσα ἐκεῖ, οὔτ' ἐπὶ θυσίαν Ἀρτέμιδος ἐλθοῦσα, ὡς ὁ τὰ Κύπρια γράψας ἔφη, ἀλλὰ πολῖτις ἤτοι συμπολῖτις Ἀνδρομάχης οὖσα.* unde Cypriorum nomen Eustathius traxerit ignotum. schol. A minn. in v. *ἔνιοι δέ φασιν ὅτι*

καὶ ἡ Χρυσηὶς ἐκ Θηβῶν ἐλήφθη. τῆς γὰρ Χρύσης φασὶν οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστέρᾳ καὶ μείζονι τῇ Θήβῃ οἱ ἀπ' αὐτῆς προσερρυηκότες ἦσαν διὰ τὸν πόλεμον.

XX. schol. Lycophr. 570 Scheer Σταφύλου τοῦ υἱοῦ Διονύσου θυγάτηρ γίνεται Ῥοιώ. ταύτῃ ἐμίγη Ἀπόλλων. αἰσθόμενος δὲ ὁ Στάφυλος ἔβαλεν αὐτὴν εἰς λάρνακα καὶ ἀφῆκε κατὰ τὴν θάλασσαν. ἡ δὲ προσεπελάσθη τῇ Εὐβοίᾳ καὶ ἐγέννησεν αὐτόθι περί τι ἄντρον παῖδα, ὃν Ἄνιον ἐκάλεσε διὰ τὸ ἀνιαθῆναι αὐτὴν δι' αὐτόν· τοῦτον δὲ Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον, ὃς γήμας Δωρίππην ἐγέννησε τὰς Οἰνοτρόπους Οἰνώ, Σπερμώ, Ἐλαίδα αἷς ὁ Διόνυσος ἐχαρίσατο ὁπότε βούλονται σπέρμα λαμβάνειν. Φερεκύδης ⟨F. H. G. i. 94⟩ δέ φησιν ὅτι Ἄνιος ἔπεισε τοὺς Ἕλληνας παραγενομένους πρὸς αὐτὸν αὐτοῦ μένειν τὰ θ' ἔτη· δεδόσθαι δὲ αὐτοῖς παρὰ τῶν θεῶν τῷ δεκάτῳ ἔτει πορθῆσαι τὴν Ἴλιον. ὑπέσχετο δὲ αὐτοῖς ὑπὸ τῶν θυγατέρων αὐτοῦ τραφήσεσθαι. ἔστι δὲ τοῦτο καὶ παρὰ τῷ τὰ Κύπρια πεποιηκότι.

XXI. Paus. x. 31. 2 Παλαμήδην δὲ ἀποπνιγῆναι προελθόντα ἐπὶ ἰχθύων θήραν, Διομήδην δὲ τὸν ἀποκτείναντα εἶναι καὶ Ὀδυσσέα ἐπιλεξάμενος ἐν ἔπεσιν οἶδα τοῖς Κυπρίοις.

XXII. Paus. x. 26. 1 Λέσχεως ⟨fr. 19⟩ δὲ καὶ ἔπη τὰ Κύπρια διδόασιν Εὐρυδίκην γυναῖκα Αἰνείᾳ.

XXIII. Plato *Euthyphr.* 12 A λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας

Ζῆνα δὲ τόν θ' ἕρξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν
οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος ἔνθα καὶ αἰδώς.

ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ. scholiasta ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων. schol. Soph. Aj. 1074 καὶ Ἐπίχαρμός φησιν ⟨fr. 58 Lor. 221 Kaibel⟩

ἔνθα δέος ἐνταῦθα καὶ αἰδώς.

XXIII. 1 τὸν ῥέξαντα Stob. Apost., marg. cod. Plat. Ven. 184

sine auctoris nomine ἵνα—αἰδώς adferunt Plut. Cleom. 9, schol. B 7 Ω 435, Apostolius ix. 6, x. 50, Diogen. v. 30 (om. γάρ). Platonem exscripsit Stob. Flor. 31. 18.

XXIV. Herodianus περὶ μονήρους λέξεως c. 9 Lehrs, ii. 914. 15 Lentz καὶ ἡ νῆσος ἰδίως ἐν Ὠκεανῷ Γοργόνων οἰκητήριον οὖσα, ὡς ὁ τὰ Κύπρια φησί

τῷ δ' ὑποκυσαμένη τέκε Γοργόνας αἰνὰ πέλωρα,
αἳ Σαρπηδόνα ναῖον ἐπ' ὠκεανῷ βαθυδίνῃ,
νῆσον πετρήεσσαν. 3

XXV. Clem. Alex. Strom. VI. ii. 19. 1 πάλιν Στασίνου εἰπόντος

νήπιος ὃς πατέρα κτείνων παῖδας καταλείπει.

ut παροιμίαν versum citat Ar. Rhet. i. 15 ii. 21 ; cit. et Polybius xxiii. 10. 10 Hultsch, Suidas in Νήπιος, Φίλιππος ὁ Μακεδών, Arsenius Viol. v. 366 qui omnes κτείνας pro κτείνων. | παῖδας] υἱοὺς Polyb. Suid. ἀπολείπει Suid. altero loco. Arctino versum adscribebant Müller et Welcker.

XXVI. schol. Eur. Hec. 41 τύμβῳ φίλον πρόσφαγμα] ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος ⟨fr. 36⟩· ὁ δὲ τὰ Κυπριακὰ ποιήσας φησὶν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἐν τῇ τῆς πόλεως ἁλώσει τραυματισθεῖσαν, ταφῆναι δὲ ὑπὸ Νεοπτολέμου, ὡς Γλαῦκος γράφει.

de Polyxena agitur cuius fatum cantasse Cypriorum poetam evincit Förster *Hermes* xviii. 475. Γλαῦκος ἐν τῇ προηγήσει citatur in alio in eundem versum scholio : per eum videtur scholiasta Cypria cognosse : qui idemne ac Glaucus Rheginus ⟨F. H. G. ii. 23⟩ sit necne nescimus.

## AETHIOPIS ARCTINI

### *Testimonia*

Suidas : Ἀρκτῖνος Τήλεω τοῦ Ναύτεω ἀπογόνου, Μιλήσιος, ἐποποιός, μαθητὴς Ὁμήρου, ὡς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ περὶ Ὁμήρου ⟨F. H. G. iv. 314⟩, γεγονὼς κατὰ τὴν θ' Ὀλυμπιάδα μετὰ τετρακόσια ἔτη τῶν Τρωικῶν.

Eusebius, Chronicon : Ol. i Ἀρκτῖνος Μιλήσιος ἐπὶ πολὺ ἤκμαζεν.

XXIV. 1 δεινὰ cod. corr. Dindorf 2 καὶ cod. : αἳ Heinrichsen

Dion. Hal. ant. rom. i. 68. 2 παλαιότατος δὲ ὧν ἡμεῖς ἴσμεν ποιητὴς Ἀρκτῖνος (cf. p. 137).

C. I. Ital. et Sicil. 1284 αι[θ]ιοπις κατα αρκτινον τον μιλησιον

*inter personarum nomina* ποδαρ]κης πενθεσιλεια αχιλλευς αχιλλευς θερσιτης αχιλλευς μεμνων αντιλοχος αχιλλευς αιας οδυσσευς αχιλλεως σωμα μουσα θετις αχιλλ[ ] αιας [μανι]ωδης.

ib. 1285 *argumentum* πενθεσιλη αμαζων παραγινεται αχιλλευς πενθεσιληαν αποκτεινει μεμνων αντιλοχον αποκτεινει αχιλλευς μεμνονα αποκτεινει εν ταις σκαιαις πυλαις αχιλλευς υπο [. . . . . .

et Arctino et Eumelo adscribit Titanomachiam (fr. 4) Athenaeus 277 D.

I. schol. T Ω 804 τινὲς γράφουσιν

ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος· ἦλθε δ' Ἀμαζὼν
Ἄρηος θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο.

his versibus incepisse Aethiopidem ut veri simile sit ita incertum est. Cf. Hesiodeae Theogoniae finem.

II. schol. Pind. Isthm. iii. 53 ἴστε μὰν Αἴαντος ἀλκάν] . . τὸ δὲ ὀψίᾳ ἐν νυκτὶ τριχῶς νοεῖται· ἢ γὰρ τὴν ὀψίαν τῆς ἡμέρας . . ., ἢ κατὰ τὸ ὀψὲ τῆς νυκτὸς . . ., ἢ τὸ πρὸς ἕω . . ., τοῖς δὲ τὸν ὄρθρον ἀκούουσι καὶ τὰ ἀπὸ τῆς ἱστορίας συνᾴδει· ὁ γὰρ τὴν Αἰθιοπίδα γράφων περὶ τὸν ὄρθρον φησὶ τὸν Αἴαντα ἑαυτὸν ἀνελεῖν.

---

Propertius ii. 13. 45

nam quo tam dubiae servetur spiritus horae?
  Nestoris est visus post tria saecla cinis.
cui tamen si longae minuisset fata senectae
  Gallicus Iliacis miles in aggeribus,
non ille Antilochi vidisset corpus humari
  diceret aut o mors, cur mihi sera venis?

Iuvenalis Sat. x. 246

rex Pylius magno si quidquam credis Homero
exemplum vitae fuit a cornice secundae.
felix nimirum qui tot per saecula mortem
distulit atque suos iam dextra computat annos
quique novum totiens mustum bibit. oro parumper
attendas quantum de legibus ipse queratur
fatorum et nimio de stamine cum videt acris
Antilochi barbam ardentem, cum quaerit ab omni
quisquis adest socius cur haec in tempora duret,
quod facinus dignum tam longo admiserit aevo.

haec ex Arctino, seu recta seu obliqua via, videntur provenisse.

## ILIAS PARVA

### *Testimonia*

Aristoteles Poet. c. 23. 1459 A 37 οἱ δ' ἄλλοι [sc. praeter Homerum] περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον καὶ μίαν πρᾶξιν πολυμερῆ, οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα. τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαὶ καὶ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ, οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες.

Κύπρια pro κυπρικὰ Reiz.

C. I. G. Ital. et Sicil. 1284 (Tabula Iliaca)

*ιλιας η μικρα λεγομενη κατα λεσχην πυρραιον*

*argumentum :*

. . . *ευρυπυλος νεοπτολεμος οδυσσευς διομηδης παλ[λ]ας δουρηος ιππος τρωιαδες και φρυγες αναγουσι τον ιππον πριαμος σινων κασσανδρα σκαια πυλη.*

Clemens Alex. Strom. i. c. 21. 131. 6 ναὶ μὴν καὶ Τέρπανδρον ἀρχαΐζουσί τινες. Ἑλλάνικος ⟨F. H. G. i. 61⟩ γοῦν ἱστορεῖ τοῦτον κατὰ Μίδαν γεγονέναι, Φανίας ⟨F. H. G. ii. 299⟩ δὲ πρὸ Τερπάνδρου τιθεὶς Λέσχην τὸν Λέσβιον

Ἀρχιλόχου νεώτερον φέρει τὸν Τέρπανδρον, διημιλλῆσθαι δὲ τὸν Λέσχην Ἀρκτίνῳ καὶ νενικηκέναι. Ξάνθος δὲ ὁ Λυδὸς ⟨F. H. G. i. 43⟩ περὶ τὴν ὀκτωκαιδεκάτην Ὀλυμπιάδα.

schol. Eur. Troad. 822 τὸν Γανυμήδην καθ' Ὅμηρον Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκολουθήσας τῷ τὴν μικρὰν Ἰλιάδα πεποιηκότι, ὃν οἱ μὲν Θεστορίδην Φωκαιέα φασίν, οἱ δὲ Κιναίθωνα Λακεδαιμόνιον ὡς Ἑλλάνικος ⟨omissum F. H. G. i. 61⟩, οἱ δὲ Διόδωρον Ἐρυθραῖον.

Ἑλλάνικος G. Hermann, cod. μελάνικος.

hinc Tzetzes Exeg. in Iliad. ed. Hermann 1812, p. 45 Ἰλιὰς ἡ παροῦσα ποίησις ἐπιγέγραπται—Ὁμήρου δὲ πρὸς ἀντιδιαστολὴν τῶν μικρῶν Ἰλιάδων. καὶ γὰρ Λέσχης Πυρραῖος, Κιναίθων τέ τις Λακεδαιμόνιος καὶ ὁ Ἐρυθραῖος Διόδωρος, Τρυφιόδωρός τε καὶ Κόϊντος ὁ Σμυρναῖος καὶ ἕτεροι Ἰλιάδας συγγεγραφήκεσαν.

vit. Hom. Herodotea c. 15 ἐν δὲ τῇ Φωκαίῃ τοῦτον τὸν χρόνον Θεστορίδης τις ἦν γράμματα διδάσκων τοὺς παῖδας, ἀνὴρ οὐ κρήγυος. κατανοήσας δὲ τοῦ Ὁμήρου τὴν ποίησιν λόγους τοιούσδ' αὐτῷ προσήνεγκε, φὰς ἕτοιμος εἶναι θεραπεύειν καὶ τρέφειν αὐτὸν ἀναλαβὼν εἰ θέλοι ἅ γε πεποιημένα εἴη αὐτῷ τῶν ἐπέων ἀναγράψαι καὶ ἄλλα ποιῶν πρὸς ἑωυτὸν ἀναφέρειν αἰεί. τῷ δ' Ὁμήρῳ ἀκούσαντι ἔδοξε ποιητέα εἶναι ταῦτα· ἐνδεὴς γὰρ ἦν τῶν ἀναγκαίων καὶ θεραπείης. διατρίβων δὲ παρὰ τῷ Θεστορίδῃ ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω ἧς ἡ ἀρχὴ

Ἴλιον ἀείδω καὶ Δαρδανίην εὔπωλον
ἧς πέρι πολλὰ πάθον Δαναοὶ θεράποντες Ἄρηος (fr. 1)

καὶ τὴν καλουμένην Φωκαΐδα, ἥν φασιν οἱ Φωκαεῖς Ὅμηρον παρ' αὐτοῖσι ποιῆσαι. ἐπεὶ δὲ τήν τε Φωκαΐδα καὶ τἆλλα πάντα παρὰ τοῦ Ὁμήρου ὁ Θεστορίδης ἐγράψατο, διενοήθη ἐκ τῆς Φωκαίης ἀπαλλάσσεσθαι, τὴν ποίησιν θέλων τοῦ Ὁμήρου ἐξιδιώσασθαι, καὶ οὐκ ἔτι ὁμοίως ἐν ἐπιμελείῃ εἶχε τὸν Ὅμηρον. ὁ δὲ λέγει αὐτῷ τὰ ἔπεα τάδε·

Θεστορίδη θνητοῖσιν ἀνωΐστων πολέων περ
οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.

ὁ μὲν δὴ Θεστορίδης ἐκ τῆς Φωκαίης ἀπηλλάγη ἐς τὴν Χίον καὶ διδασκαλίην κατεσκευάσατο καὶ τὰ ἔπεα ἐπιδεικνύμενος ὡς ἑωυτοῦ ἐόντα ἔπαινόν τε πολλὸν εἶχε καὶ ὠφελεῖτο.

Leschae poema adscribunt schol. Pind. Nem. vi. 85 (fr. v), schol. Lycophr. 344 (fr. xii) 1268 (fr. xix), schol. Ar. Lysistr. 155 (fr. xvii) constanter Pausanias (frr. xiii, xiv, xv, xvi, xviii, xix, xx): Thestoridae, Diodoro alii, Cinaethoni Hellanicus (v. supra): patriam oppidum Pyrrham perhibent Pausanias, Tabula Iliaca, schol. Ar. frustulum illud adicimus ἤρετο πρῶτον τὸν Λεσχίδην τὸν ποιητὴν μεταξὺ κρηπιδούμενος auctoris ignoti ap. Suidam in κρηπιδούμενος.

I. vit. Hom. Herodotea c. 16 (v. supra) διατρίβων δὲ παρὰ τῷ Θεστορίδῃ ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω ἧς ἡ ἀρχὴ

Ἴλιον ἀείδω καὶ Δαρδανίην εὔπωλον
ἧς πέρι πολλὰ πάθον Δαναοὶ θεράποντες Ἄρηος.

II. schol. Aristophanis Eq. 1056:

ἡ ἱστορία τοῦτον τὸν τρόπον ἔχει. ὅτι διεφέροντο περὶ τῶν ἀριστείων ὅ τε Αἴας καὶ ὁ Ὀδυσσεύς, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς. τὸν Νέστορα δὲ συμβουλεῦσαι τοῖς Ἕλλησι πέμψαι τινὰς ἐξ αὐτῶν ὑπὸ τὰ τείχη τῶν Τρώων, ὠτακουστήσοντας περὶ τῆς ἀνδρείας τῶν προειρημένων ἡρώων. τοὺς δὲ πεμφθέντας ἀκοῦσαι παρθένων διαφερομένων πρὸς ἀλλήλας, ὧν τὴν μὲν λέγειν ὡς ὁ Αἴας πολὺ κρείττων ἐστὶ τοῦ Ὀδυσσέως, διερχομένην οὕτως

Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηιοτῆτος
ἥρω Πηλείδην οὐδ' ἤθελε δῖος Ὀδυσσεύς,

τὴν δ' ἑτέραν ἀντειπεῖν Ἀθηνᾶς προνοίᾳ

πῶς ἐπεφωνήσω; πῶς οὐ κατὰ κόσμον ἔειπες
ψεῦδος;

τοῦτο δὲ ἵνα δείξῃ ὡς Δημοσθένους οὐ τοῦ Κλέωνος τὸ κατόρθωμα. Ἄλλως· τοῦτο ἐκ κύκλου ἀφείλκυσται. λέ-

*γεται δὲ ἀπὸ τῶν Τρῳάδων κρινουσῶν τὸν Αἴαντα καὶ τὸν Ὀδυσσέα. λέγεται δὲ ὅτι οὐ τὸ τοῦ Αἴαντος ἔργον ἀλλὰ τὸ τοῦ Ὀδυσσέως.*

Aristophanis locus quem e cyclo detractum testatur scholiasta alter hic est :

Eq. 1056

*καί κε γυνὴ φέροι ἄχθος ἐπεί κεν ἀνὴρ ἀναθείη·*
*ἀλλ' οὐκ ἂν μαχέσαιτο· χέσαιτο γὰρ εἰ μαχέσαιτο.*

versum priorem citat Plut. de Alex. magn. fort. ii. c. 5 = 337 E.

III. Porphyrius ap. Eust. 285. 34 (*ἱστορεῖ δὲ ὁ Πορφύριος*) *καὶ ὅτι ὁ τὴν μικρὰν Ἰλιάδα γράψας ἱστορεῖ μηδὲ καυθῆναι συνήθως τὸν Αἴαντα, τεθῆναι δὲ οὕτως ἐν σορῷ διὰ τὴν ὀργὴν τοῦ βασιλέως.* haec e Porphyrii Paralipomenis derivasse demonstravit Schrader *Hermes* xiv. 231 sqq.

IV. schol. T Eust. T 326 *τινὲς μὲν ἐκεῖ ἐκτεθῆναι αὐτὸν ὑπὸ Θέτιδος, ὁ δὲ τὴν μικρὰν Ἰλιάδα* (*γράψας* add. Eust.)*ἀναζευγνύντα αὐτὸν ἀπὸ Τηλέφου προσορμισθῆναι ἐκεῖ·*

*Πηλείδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα,*
*ἔνθα γ' ἐς ἀργαλέον λιμέν' ἵκετο νυκτὸς ἐκείνης.* 2

V. schol. T Π 142 *οἱ δὲ πλάττονται λέγοντες ὡς Πηλεὺς μὲν παρὰ Χείρωνος ἔμαθε τὴν χρῆσιν αὐτῆς* [sc. *τῆς μελίης*], *Ἀχιλλεὺς δὲ παρὰ Πηλέως, ὁ δὲ οὐδένα ἐδίδαξεν. καὶ ὁ τῆς μικρᾶς Ἰλιάδος ποιητὴς*

*ἀμφὶ δὲ πόρκης*
*χρύσεος ἀστράπτει καὶ ἐπ' αὐτῷ δίκροος αἰχμή.* 2

schol. Pind. Nem. vi. 85 *μετάγουσι δὲ τὴν ἱστορίαν ἀπὸ τῆς Λέσχου μικρᾶς Ἰλιάδος λέγοντος οὕτως·* [eadem].

IV. v. 1 solum habent schol. B et cod. Par. 2679 in An. Par. iii. 26
1 *οὔρωνδε* T pro *σκῦρόνδε*
V. 1 *πόρκις* schol. Pind. 2 *αὐτῶν* T : *αὐτὸ* schol. Pind. *δίκρος αἰχμῆς* T : *δίκροος δίη* schol. Pind. corr. Heyne : *ἄρδις* Scaliger

VI. schol. Eur. Troad. 822 Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκολουθήσας τῷ τὴν μικρὰν Ἰλιάδα πεποιηκότι . . . [v. supra]· φησὶ δὲ οὕτως·

ἄμπελον ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα
χρυσείοις φύλλοισιν ἀγανοῖσιν κομόωσαν
βότρυσί θ' οὓς Ἥφαιστος ἐπασκήσας Διὶ πατρὶ
δῶχ', ὁ δὲ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί.

schol. Eur. Orest. 1391 τινὲς δὲ οὐχ ἵππους ἀλλὰ χρυσῆν ἄμπελόν φασι δεδόσθαι ὑπὲρ Γανυμήδους, καθάπερ ἐν κύκλῳ λέγεται· [eadem].

VII. Paus. iii. 26. 9 Μαχάονα δὲ ὑπὸ Εὐρυπύλου τοῦ Τηλέφου τελευτῆσαί φησιν ὁ τὰ ἔπη ποιήσας τὴν μικρὰν Ἰλιάδα.

VIII. schol. Lycophr. Alex. 780 ὁ τὴν μικρὰν Ἰλιάδα γράψας φησὶ τρωθῆναι τὸν Ὀδυσσέα ὑπὸ Θόαντος ὅτε εἰς Τροίαν ἀνήρχοντο.

IX. Hesychius Διομήδειος ἀνάγκη· παροιμία. Κλέαρχος ⟨F. H. G. ii. 320⟩ μέν φησι Διομήδους θυγατέρας γενέσθαι πάνυ μοχθηράς, αἷς ἀναγκάζειν πλησιάζειν τινὰς καὶ εὐθὺς αὐτοὺς φονεύειν· ὁ δὲ τὴν μικρὰν Ἰλιάδα φησὶν ἐπὶ τῆς τοῦ Παλλαδίου κλοπῆς γενέσθαι. narrant rem schol. Plat. Rep. 493 D, Eust. 822. 18, Zenob. prov. iii. 8, Conon ap. Phot. Bibl. 228.

X. Homerus δ 285

ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν υἷες Ἀχαιῶν,
Ἄντικλος δὲ σέ γ' οἶος ἀμείψασθαι ἐπέεσσιν
ἤθελεν· ἀλλ' Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζε
νωλεμέως κρατερῇσι, σάωσε δὲ πάντας Ἀχαιούς,
τόφρα δ' ἔχ' ὄφρα σε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη.

VI. 2 χρυσείην schol. Or. ἀγανοῖσι nondum sanatum 3 Διὶ πατρὶ δῶχ' ὁ δὲ] πατρὶ δῶκεν αὐτὰρ ὁ schol. Or. de re cf. schol. λ 521 Ptol. Heph. 152 b 8, Dict. Cret. iv. 14, schol. Iuvenalis vi. 655

schol. H[3] et partim M[4] ad loc. Ἀρίσταρχος τοὺς ϵʹ (δύο H[3] M[4] corr. Porson) ἀθετεῖ, ἐπεὶ ἐν Ἰλιάδι οὐ μνημονεύει Ἀντίκλου ὁ ποιητής—ὁ Ἄντικλος ἐκ τοῦ κύκλου. οὐκ ἐφέροντο δὲ σχεδὸν ἐν πάσαις. huc rettulit Welcker, Arctino adscripsit Müller.

XI. Homerus δ 247

ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων ἤισκε
δέκτῃ, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν.

scholl. ὁ κυκλικὸς τὸ δέκτῃ ὀνοματικῶς ἀκούει, παρ' οὗ φησι τὸν Ὀδυσσέα τὰ ῥάκη λαβόντα μετημφιάσθαι, ὃς οὐκ ἦν ἐν ταῖς νηυσὶ τοιοῦτος οἷος Ὀδυσσεὺς ἀχρεῖος. Ἀρίσταρχος δὲ δέκτῃ μὲν ἐπαίτῃ.

cf. et familias codicum Od. *f p* vocem ut propriam notantes. collato fr. x cyclicum pro Lesche habeas.

XII. schol. Eur. Hec. 910 Καλλισθένης ἐν βʹ τῶν Ἑλληνικῶν ⟨Scrr. rerum Alex. magn. fr. 15 Müller⟩ οὕτως γράφει· ἑάλω μὲν ἡ Τροία Θαργηλιῶνος μηνός, ὡς μέν τινες τῶν ἱστορικῶν, ιβʹ ἱσταμένου, ὡς δὲ ὁ τὴν μικρὰν Ἰλιάδα, ηʹ φθίνοντος. διορίζει γὰρ αὐτὸς τὴν ἅλωσιν φάσκων συμβῆναι τότε τὴν κατάληψιν ἡνίκα

νὺξ μὲν ἔην μέσση, λαμπρὰ δ' ἐπέτελλε σελήνη.

μεσονύκτιος δὲ μόνον τῇ ὀγδόῃ φθίνοντος ἀνατέλλει, ἐν ἄλλῃ δ' οὔ. cf. Plut. Camill. 19.

Clem. Alex. i. 21. 104. 1 κατὰ δὲ τὸ ὀκτωκαιδέκατον ἔτος τῆς Ἀγαμέμνονος βασιλείας Ἴλιον ἑάλω . . . Θαργηλιῶνος μηνὸς δευτέρᾳ ἐπὶ δέκα, ὥς φησι Διονύσιος ὁ Ἀργεῖος ⟨F. H. G. iii. 26⟩, Ἀγίας ⟨ib. iv. 292⟩ δὲ καὶ Δερκύλος ἐν τῇ τρίτῃ ⟨ib. iv. 387⟩ μηνὸς Πανήμου ὀγδόῃ φθίνοντος. Ἑλλάνικος γὰρ δωδεκάτῃ Θαργηλιῶνος μηνός ⟨F. H. G. i. 65⟩, καί τινες τῶν τὰ Ἀττικὰ συγγραψαμένων ὀγδόῃ φθίνοντος, βασιλεύοντος τὸ τελευταῖον ἔτος Μενεσθέως πληθυούσης σελήνης·

*νὺξ μὲν ἔην*

*φησὶν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς*

*μεσάτα, λαμπρὰ δ' ἐπέτελλε σελάνα.*

*ἕτεροι δὲ Σκιροφοριῶνος τῇ αὐτῇ ἡμέρᾳ.*

unde Euseb. Praep. Evan. x. 12. v. 498 B 6.

schol. Lycophr. 344 Eudocia 38 Fl. *ὁ Σίνων ὡς ἦν αὐτῷ συντεθειμένον, φρυκτὸν ὑποδείξας τοῖς Ἕλλησιν ὡς ὁ Λέσχης φησὶν ἡνίκα* [eadem quae schol. Eur. sed *λαμπρή*]. versum in suos recipit Tzetzes Posthom. 720, 773 (*δ' ἄρ' ἔην μέσση λαμπρὴ—σελήνη*).

XIII. Paus. x. 25. 5 *πλησίον δὲ τοῦ Ἑλένου Μέγης ἐστί· τέτρωται δὲ τὸν βραχίονα ὁ Μέγης, καθὰ δὴ καὶ Λέσχεως ὁ Αἰσχυλίνου Πυρραῖος ἐν Ἰλίου πέρσιδι ἐποίησε· τρωθῆναι δὲ ὑπὸ τὴν μάχην τοῦτον ἣν ἐν τῇ νυκτὶ ἐμαχέσαντο οἱ Τρῶες ὑπὸ Ἀδμήτου φησὶ τοῦ Αὐγείου. γέγραπται δὲ καὶ Λυκομήδης παρὰ τὸν Μέγητα ὁ Κρέοντος, ἔχων τραῦμα ἐπὶ τῷ καρπῷ· Λέσχεως δ' οὕτω φησὶν αὐτὸν ὑπὸ Ἀγήνορος τρωθῆναι. δῆλα οὖν ὡς ἄλλως γε οὐκ ἂν ὁ Πολύγνωτος ἔγραψεν οὕτω τὰ ἕλκη σφίσιν εἰ μὴ ἐπελέξατο τὴν ποίησιν τοῦ Λέσχεω.*

XIV. Paus. x. 26. 7 *Ὅμηρος μέν γε ἐδήλωσεν ἐν Ἰλιάδι Μενελάου καὶ Ὀδυσσέως ξενίαν παρὰ Ἀντήνορι, καὶ ὡς Ἑλικάονι ἡ Λαοδίκη συνοικοίη τῷ Ἀντήνορος· Λέσχεως δὲ τετρωμένον τὸν Ἑλικάονα ἐν τῇ νυκτομαχίᾳ γνωρισθῆναί τε ὑπὸ Ὀδυσσέως καὶ ἐξαχθῆναι ζῶντα ἐκ τῆς μάχης φησίν.*

XV. Paus. x. 26. 4 *οὗτος μὲν δὴ* [sc. *ὁ Ἔλασος*] *ὀλίγον ἐμπνέοντι ἔτι εἴκασται. Ἀστύνοον δέ, οὗ δὴ ἐποιήσατο καὶ Λέσχεως μνήμην, πεπτωκότα ἐς γόνυ ὁ Νεοπτόλεμος ξίφει παίει.*

XIII. 3 *λέσχεως*] *λέσχης* 'P¹ y' (Spiro) *αἰσχυλίνου* corr. Dind. ex *αἰσχυλήνου* 10 *λέσχεω*] *λέσχεως* 'P¹ y²'

XVI. Paus. x. 27. 1 νεκροὶ δὲ ὁ μὲν γυμνὸς Πῆλις ὄνομα ἐπὶ τὸν νῶτόν ἐστιν ἐρριμμένος, ὑπὸ δὲ τὸν Πῆλιν Ἠιονεύς τε κεῖται καὶ Ἄδμητος ἐνδεδυκότες ἔτι τοὺς θώρακας· καὶ αὐτῶν Λέσχεως Ἠιονέα ὑπὸ Νεοπτολέμου, τὸν δὲ ὑπὸ Φιλοκτήτου φησὶν ἀποθανεῖν τὸν Ἄδμητον . . . ἀφίκετο μὲν δὴ ἐπὶ τὸν Κασσάνδρας ὁ Κόροιβος γάμον, ἀπέθανε δέ, ὡς μὲν ὁ πλείων λόγος, ὑπὸ Νεοπτολέμου, Λέσχεως δὲ ὑπὸ Διομήδους ἐποίησεν . . . Πρίαμον δὲ οὐκ ἀποθανεῖν ἔφη Λέσχεως ἐπὶ τῇ ἐσχάρᾳ τοῦ Ἑρκείου, ἀλλὰ ἀποσπασθέντα ἀπὸ τοῦ βωμοῦ πάρεργον τῷ Νεοπτολέμῳ πρὸς ταῖς τῆς οἰκίας γενέσθαι θύραις. ἐς δὲ Ἑκάβην Στησίχορος ἐν Ἰλίου πέρσιδι ⟨fr. 19⟩ ἐποίησεν ἐς Λυκίαν ὑπὸ Ἀπόλλωνος αὐτὴν κομισθῆναι· Ἀξίονα δὲ παῖδα εἶναι Πριάμου Λέσχεως καὶ ἀποθανεῖν αὐτὸν ὑπὸ Εὐρυπύλου τοῦ Εὐαίμονός φησι. τοῦ Ἀγήνορος δὲ κατὰ τὸν αὐτὸν ποιητὴν Νεοπτόλεμος αὐτόχειρ ἐστί.

Coroebum a Diomede interfectum esse docet et papyrus Rylands xxii. 5.

XVII. Aristoph. Lys. 155

ΛΑΜ. ὁ γῶν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πα
γυμνᾶς παραυιδὼν ἐξέβαλ' οἰῶ τὸ ξίφος.

schol. ἡ ἱστορία παρὰ Ἰβύκῳ ⟨fr. 35⟩· τὰ δ' αὐτὰ καὶ Λέσχης ὁ Πυρραῖος ἐν τῇ μικρᾷ Ἰλιάδι· καὶ Εὐριπίδης ⟨Androm. 628⟩. schol. Vesp. 714 Leschen omittit.

XVIII. Paus. x. 25. 8 Λέσχεως δὲ εἰς τὴν Αἴθραν ἐποίησεν ἡνίκα ἡλίσκετο Ἴλιον ὑπεξελθοῦσαν ἐς τὸ στρατόπεδον αὐτὴν ἀφικέσθαι τὸ Ἑλλήνων καὶ ὑπὸ τῶν παίδων γνωρισθῆναι τῶν Θησέως, καὶ ὡς παρ' Ἀγαμέμνονος αἰτῆσαι Δημοφῶν αὐτήν. ὁ δ' ἐκείνῳ μὲν ἐθέλειν χαρίζεσθαι, ποιήσειν δὲ οὐ πρότερον ἔφη πρὶν Ἑλένην πεῖσαι· ἀποστείλαντι δὲ αὐτῷ κήρυκα ἔδωκεν Ἑλένη τὴν χάριν.

XIX. schol. Lycophr. Alex. 1268 Λέσχης δ' ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς Ἀνδρομάχην καὶ Αἰνείαν αἰχμαλώτους

φησὶ δοθῆναι τῷ Ἀχιλλέως υἱῷ Νεοπτολέμῳ καὶ ἀπαχθῆναι σὺν αὐτῷ εἰς Φαρσαλίαν τὴν Ἀχιλλέως πατρίδα· φησὶ δὲ οὕτω·

αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
Ἑκτορέην ἄλοχον κάταγεν κοίλας ἐπὶ νῆας.
παῖδα δ' ἑλὼν ἐκ κόλπου ἐυπλοκάμοιο τιθήνης
ῥίψε ποδὸς τεταγὼν ἀπὸ πύργου, τὸν δὲ πεσόντα
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
ἐκ δ' ἕλεν Ἀνδρομάχην, ἠύζωνον παράκοιτιν
Ἕκτορος, ἥν τε οἱ αὐτῷ ἀριστῆες Παναχαιῶν
δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμεναι γέρας ἀνδρί,
αὐτόν τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
Αἰνείαν ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων.

Paus. x. 25. 9 γέγραπται μὲν Ἀνδρομάχη καὶ ὁ παῖς οἱ προσέστηκεν ἑλόμενος τοῦ μαστοῦ· τούτῳ Λέσχεως ῥιφθέντι ἀπὸ τοῦ πύργου συμβῆναι λέγει τὴν τελευτήν, οὐ μὴν ὑπὸ δόγματός γε Ἑλλήνων, ἀλλ' ἰδίᾳ Νεοπτόλεμον αὐτόχειρα ἐθελῆσαι γενέσθαι.

XX. Paus. x. 26. 1 ἐπὶ δὲ τῇ Κρεούσῃ λέγουσιν ὡς ἡ θεῶν μήτηρ καὶ Ἀφροδίτη δουλείας ἀπὸ Ἑλλήνων αὐτὴν ἐρρύσαντο, εἶναι γὰρ δὴ καὶ Αἰνείου τὴν Κρέουσαν γυναῖκα· Λέσχεως δὲ καὶ ἔπη τὰ Κύπρια ⟨fr. 19⟩ διδόασιν Εὐρυδίκην γυναῖκα Αἰνείᾳ. γεγραμμέναι δὲ ἐπὶ κλίνης ὑπὲρ ταύτας Δηινόμη τε καὶ Μητιόχη καὶ Πεῖσίς ἐστι καὶ Κλεοδίκη. τούτων ἐν Ἰλιάδι καλουμένῃ μικρᾷ μόνης ἐστὶ τὸ ὄνομα τῆς Δηινόμης.

XXI. schol. Lycophr. Alex. 1232 ὕστερον δὲ τῆς Τροίας πορθουμένης ἐλευθερωθεὶς ὑφ' Ἑλλήνων ὁ αὐτὸς Αἰνείας, ἢ αἰχμάλωτος ἀχθεὶς ὑπὸ Νεοπτολέμου, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς, καὶ μετὰ τὴν ὑπὸ Ὀρέστου ἐν

XIX. 6–11 Simmiae ἐν τῇ Γοργόνι tribuit schol. Eur. Andr. 14, cf. Susemihl *Gesch. Alex. Litt.* i. 179, 180 n. 34

Δελφοῖς τοῦ Νεοπτολέμου ἀναίρεσιν ἐλευθερωθεὶς οἰκεῖ πρῶτον τὰς περὶ Ῥαίκηλον καὶ Ἀλμωνίαν πόλεις Μακεδονικὰς πλησίον Κισσίου ὄρους κειμένας, τὸ δὲ Ῥαίκηλον ἀπὸ τούτου Αἶνος ἐκλήθη.

et haec fortasse Simmiae communia erant: cf. ad fr. 19.

XXII. Apollodor. epit. 5. 14 Wagner ὕστερον δὲ ἐπινοεῖ δουρείου ἵππου κατασκευὴν καὶ ὑποτίθεται Ἐπειῷ ὃς ἦν ἀρχιτέκτων. οὗτος ἐπὶ τῶν Ἴδης ξύλα τεμὼν ἵππον κατασκευάζει κοῖλον, ἔνδοθεν δὲ εἰς τὰς πλευρὰς ἀνεῳγμένον. εἰς τοῦτο Ὀδυσσεὺς εἰσελθεῖν πείθει πεντήκοντα τοὺς ἀρίστους, ὡς δὲ ὁ τὴν μικρὰν γράψας Ἰλιάδα φησὶ τρισχιλίους.

XXIII. Plutarchus conv. sept. sap. c. 10 = 153 F ἀκούομεν γὰρ ὅτι καὶ πρὸς τὰς Ἀμφιδάμαντος ταφὰς εἰς Χαλκίδα τῶν τότε σοφῶν οἱ δοκιμώτατοι ποιηταὶ συνῆλθον· ἦν δὲ ὁ Ἀμφιδάμας ἀνὴρ πολεμικὸς καὶ πολλὰ πράγματα παρασχὼν Ἐρετριεῦσιν ἐν ταῖς περὶ Ληλάντου μάχαις ἔπεσεν, ἐπεὶ δὲ τὰ παρεσκευασμένα τοῖς ποιηταῖς ἔπη χαλεπὴν καὶ δύσκολον ἐποίει τὴν κρίσιν διὰ τὸ ἐφάμιλλον, ἥ τε δόξα τῶν ἀγωνιστῶν Ὁμήρου καὶ Ἡσιόδου πολλὴν ἀπορίαν μετ' αἰδοῦς τοῖς κρίνουσι παρεῖχεν, ἐτράποντο πρὸς τοιαύτας ἐρωτήσεις καὶ προὔβαλ' ὁ μέν, ὥς φησι Λέσχης,

> μοῦσά μοι ἔννεπε κεῖνα τὰ μήτ' ἐγένοντο πάροιθε
> μήτ' ἔσται μετόπισθεν,

ἀπεκρίνατο δ' Ἡσίοδος ἐκ τοῦ παρατυχόντος

> ἀλλ' ὅταν ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
> ἅρματα συντρίψωσιν ἐπειγόμενοι περὶ νίκης.

καὶ διὰ τοῦτο λέγεται μάλιστα θαυμασθεὶς τοῦ τρίποδος τυχεῖν.

non est cur cum Goettlingio Welckero ceteris alterum fingamus Leschen, siquidem Cynaethus se versibus venditat hymn. Apoll. 166 sqq., Theogoniae auctor Hesiodum nominat v. 22, Hesiodus de se ipso verba facit Opp. 633, 650 sqq., victoriam cantat fr. 265.

## Ἰλίου πέρσις

### *Testimonia*

C. I. Ital. et Sicil. 1285. ii. in pag. altera (p. 336):

*νεοπτολεμος α]π[οκ]τεινει πριαμον και αγηνορα πολυποιτης*

*εχειον θρασ[υ]μηδης νι[κ]αινετον φιλοκτητης διοπιθην διο . . .*

argumentum certe Iliu persidos, sed utrum Arctini an Stesichori fuerit disputatur.

scripsit et Sacadas Argivus Iliu persida, P. L. G. iii. 203. huiusce poematis auctorem Arctinum perhibent praeter Proculum scholiasta homericus diserte, minus certe Dionysius et Diomedes.

I. Dion. Hal. ant. rom. i. 68. 2

*πολλὰ δὲ καὶ ἄλλα ἐν ἱεροῖς ἀρχαίοις εἴδωλα τῶν θεῶν τούτων ἐθεασάμεθα, καὶ ἐν ἅπασι νεανίσκοι δύο στρατιωτικὰ σχήματα ἔχοντες φαίνονται. ὁρᾶν μὲν δὴ ταῦτα ἔξεστιν, ἀκούειν δὲ καὶ γράφειν ὑπὲρ αὐτῶν ἃ Καλλίστρατός τε ὁ περὶ Σαμοθρᾴκης συνταξάμενος ἱστορεῖ* ⟨F. H. G. iv. 355⟩ *καὶ Σάτυρος ὁ τοὺς ἀρχαίους μύθους συναγαγὼν* ⟨ib. iii. 165⟩ *καὶ ἄλλοι συχνοί, παλαιότατος δὲ ὧν ἡμεῖς ἴσμεν ποιητὴς Ἀρκτῖνος. λέγουσι γοῦν ὧδε· Χρύσην τὴν Πάλλαντος θυγατέρα γημαμένην Δαρδάνῳ τά τε Παλλάδια καὶ τὰ ἱερὰ τῶν μεγάλων θεῶν διδαχθεῖσαν αὐτῶν τὰς τελετάς. ἐπειδὴ δὲ τὴν ἐπομβρίαν φεύγοντες Ἀρκάδες Πελοπόννησον μὲν ἐξέλιπον, ἐν δὲ τῇ Θρᾳκίᾳ νήσῳ τοὺς βίους ἱδρύσαντο, κατασκευάσαι τὸν Δάρδανον ἐνταῦθα τῶν θεῶν τούτων ἱερὸν ἀρρήτους τοῖς ἄλλοις ποιοῦντα τὰς ἰδίους αὐτῶν ὀνομασίας καὶ τὰς τελετὰς αὐτοῖς τὰς καὶ εἰς τόδε χρόνου γινομένας ὑπὸ Σαμοθρᾴκων ἐπιτελεῖν. ὡς δὲ μετῆγε τοῦ λεὼ τὴν πλείω μοῖραν εἰς τὴν Ἀσίαν, τὰ μὲν ἱερὰ τῶν θεῶν καὶ τὰς τελετὰς τοῖς ὑπομείνασιν ἐν τῇ νήσῳ καταλιπεῖν· τὰ δὲ Παλλάδια καὶ τὰς τῶν θεῶν εἰκόνας κατασκευασάμενον ἀγαγέσθαι*

μετ' αὐτοῦ. διαμαντευόμενον δὲ περὶ τῆς οἰκήσεως τά τε ἄλλα μαθεῖν καὶ περὶ τῶν ἱερῶν τῆς φυλακῆς τόνδε τὸν χρησμὸν λαβεῖν·

εἰς πόλιν ἣν κτίζησθα θεοῖς σέβας ἄφθιτον αἰεὶ
θεῖναι καὶ φυλακαῖς τε σέβειν θυσίαις τε χοροῖς τε.
ἔστ' ἂν γὰρ τάδε σεμνὰ καθ' ὑμετέρην χθόνα μίμνῃ
δῶρα Διὸς κούρης ἀλόχῳ σέθεν ἡ δὲ πόλις σοι
ἔσται ἀπόρθητος τὸν ἀεὶ χρόνον ἤματα πάντα.

69. Δάρδανον μὲν ἐν τῇ κτισθείσῃ τε ὑφ' ἑαυτοῦ καὶ ὀνομασίας ὁμοίας τυχούσῃ πόλει τὰ ἕδη καταλιπεῖν, Ἰλίου δ' ἐν ὑστέρῳ χρόνῳ συνοικισθέντος ἐκεῖσε μετενεχθῆναι πρὸς τῶν ἐγγόνων αὐτοῦ τὰ ἱερά. ποιήσασθαι δὲ τοὺς Ἰλιεῖς νεών τε καὶ ἄδυτον αὐτοῖς ἐπὶ τῆς ἄκρας καὶ φυλάττειν δι' ἐπιμελείας ὅσης ἐδύναντο πλείστης θεόπεμπτά τε ἡγουμένους εἶναι καὶ σωτηρίας κύρια τῇ πόλει. ἁλισκομένης δὲ τῆς κάτω πόλεως τὸν Αἰνείαν καρτερὸν τῆς ὥρας γενόμενον ἄραντα ἐκ τῶν ἀδύτων τά τε ἱερὰ τῶν μεγάλων θεῶν καὶ ὅπερ ἔτι περιῆν Παλλάδιον (θάτερον γὰρ Ὀδυσσέα καὶ Διομήδην νυκτός φασιν εἰς Ἴλιον ἀφικομένους κλοπῇ λαβεῖν) οἴχεσθαί τε κομίσαντα ἐκ τῆς πόλεως καὶ ἐλθεῖν ἄγοντα εἰς Ἰταλίαν. Ἀρκτῖνος δέ φησιν ὑπὸ Διὸς δοθῆναι Δαρδάνῳ παλλάδιον ἓν καὶ εἶναι τοῦτο ἐν Ἰλίῳ τέως ἡ πόλις ἡλίσκετο κεκρυμμένον ἐν ἀβάτῳ, εἰκόνα δ' ἐκείνου κατεσκευασμένην ὡς μηδὲν τῆς ἀρχετύπου διαφέρειν ἀπάτης τῶν ἐπιβουλευόντων ἕνεκα ἐν φανερῷ τεθῆναι, καὶ αὐτὴν Ἀχαιοὺς ἐπιβουλεύσαντας λαβεῖν.

II. Lysanias ⟨F. H. G. iii. 342⟩ ut videtur ap. schol. Eur. Andr. 10 Στησίχορον μὲν γὰρ ἱστορεῖν ὅτι τεθνήκοι [ὁ Ἀστυάναξ], καὶ τὸν τὴν πέρσιδα συντεταχότα κυκλικὸν ποιητὴν ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφθείη. ᾧ ἠκολουθηκέναι Εὐριπίδην. scholium confusum est: στησίχορος et ἱστορεῖ codd., corr. Cobet.

III. Lysimachus ⟨F. H. G. iii. 310⟩ fr. 19 ap. schol.

Eur. Troad. 31 ἔνιοι ταῦτά φασι πρὸς χάριν εἰρῆσθαι. μηδὲν γὰρ εἰληφέναι τοὺς περὶ Ἀκάμαντα καὶ Δημοφῶντα ἐκ τῶν λαφύρων ἀλλὰ μόνην τὴν Αἴθραν, δι' ἣν καὶ ἀφίκοντο εἰς Ἴλιον, Μενεσθέως ἡγουμένου. Λυσίμαχος δὲ τὸν τὴν πέρσιδα πεποιηκότα φησὶ γράφειν οὕτως·

Θησείδαις δ' ἔπορεν δῶρα κρείων Ἀγαμέμνων
ἠδὲ Μενεσθῆι μεγαλήτορι ποιμένι λαῶν.

πέρσιδα corr. ex περσηίδα Cobet.

IV. Demosthenes Epitaph. 29 ἐμέμνηντ' Ἀκαμαντίδαι τῶν ἐπῶν ἐν οἷς Ὅμηρος εἵνεκα τῆς μητρός φησιν Αἴθρας Ἀκάμαντ' εἰς Τροίαν στεῖλαι.

Acamantidas Arctinum pro Homero habuisse in re tali satis veri simile videtur.

V. schol. B T Eust. Λ 515 ἔνιοι δέ φασιν ὡς οὐδὲ ἐπὶ πάντας τοὺς ἰατροὺς ὁ ἔπαινος οὗτός ἐστι κοινός, ἀλλὰ ἐπὶ τὸν Μαχάονα, ὃν μόνον χειρουργεῖν τινες λέγουσι· τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαι νόσους· καὶ τεκμήριον τούτου Ἀγαμέμνων (Δ 193) τρωθέντος Μενελάου οὐκ ἄμφω ἐπὶ τὴν θεραπείαν καλεῖ, ἀλλὰ τὸν Μαχάονα. τοῦτο ἔοικε καὶ Ἀρκτῖνος ἐν Ἰλίου πορθήσει νομίζειν ἐν οἷς φησι

αὐτὸς γάρ σφιν ἔδωκε πατὴρ κλυτὸς Ἐννοσίγαιος
ἀμφοτέροις, ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκε·
τῷ μὲν κουφοτέρας χεῖρας πόρεν ἔκ τε βέλεμνα
σαρκὸς ἑλεῖν τμῆξαί τε καὶ ἕλκεα πάντ' ἀκέσασθαι,
τῷ δ' ἄρ' ἀκριβέα πάντα ἐνὶ στήθεσσιν ἔθηκεν
ἄσκοπά τε γνῶναι καὶ ἀναλθέα ἰήσασθαι·
ὅς ῥα καὶ Αἴαντος πρῶτος μάθε χωομένοιο
ὄμματά τ' ἀστράπτοντα βαρυνόμενόν τε νόημα.

VI. Diomedes in Gramm. Lat. i. 477 ed. Keil. *auctor huius vibrationis Arctinus Graecus his versibus perhibetur:*

IV. Cf. Eur. I. A. 247 Hec. 123 Troad. 31 Hellanicus fr. 75 Plut. Thes. 35 Dionysius cyclographus F. H. G. iv. 653 A Eust. 284. 29

V. 1 κλυτὸς add. Heyne ἐννοσίγαιος πεσεῖν B T: hoc pro παισὶν habuit Heyne e Podalirii quadam aristia ut videtur deprompti versus iam mortuo Machaone (Il. parv. 7) 7 μάθε pluris quam perfecti vim habet

ὁ Ἴαμβος
ἐξ ὀλίγου διαβὰς προφόρῳ ποδὶ ὄφρ' οἱ γυῖα 2
τεινόμενα ῥώοιτο καὶ εὐσθενὲς εἶδος ἔχῃσι.

## Νόστοι

Nostos conscripserunt etiam Eumelus ut creditur (Kinkel E. G. F. p. 187): prosa oratione Lysimachus (F. H. G. iii. 337 sqq.), Anticlides (Script. rer. Alex. magni ff. 148, 9). Diomedis reditum tractat Mimnermus fr. 22. Herodotusne iii. 91, vii. 91 hoc poemate usus est?

I. Apollod. ii. c. 23 ἔγημε δὲ [ὁ Ναύπλιος] ὡς μὲν οἱ τραγικοὶ λέγουσιν Κλυμένην τὴν Κατρέως, ὡς δὲ ὁ τοὺς νόστους γράψας, Φιλύραν, ὡς δὲ Κέρκωψ ⟨poeta Pythagoreus, Diels *Vorsokr.* 32?⟩, Ἡσιόνην, καὶ ἐγέννησε Παλαμήδην Οἴακα Ναυσιμέδοντα.

II. Homerus δ 10 de Menelao

υἱέι δὲ Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην,
ὅς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης
ἐκ δούλης·

scholl. αὔτη ὡς μὲν Ἀλεξίων Τειρίς, ὡς δ' ἔνιοι Τηρίς, θυγάτηρ Ζευξίππης, ὡς δὲ ὁ τῶν νόστων ποιητής, Γέτις. τινὲς δὲ τὸ δούλης κύριόν φασι. aliter οἱ μὲν κύριον τὸ δούλης, οἱ δὲ Τηριδάης. Τηριδάη γὰρ τὸ κύριον αὐτῆς ὄνομα. Apoll. iii. 133 Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε καὶ κατά τινας Νικόστρατον· ἐκ δούλης Πιερίδος, γένος Αἰτωλίδος, ἢ καθάπερ Ἀκουσίλαός φησι ⟨fr. 28⟩ Τηρηίδος, Μεγαπένθη. ἐκ Κνωσσίας δὲ νύμφης κατὰ Εὔμηλον ⟨fr. 7 sed potius in Νόστῳ suo⟩.

III. Paus. x. 28. 7 ἡ δὲ Ὁμήρου ποίησις ἐς Ὀδυσσέα καὶ ἡ Μινυάς τε καλουμένη καὶ οἱ Νόστοι· μνήμη γὰρ δὴ ἐν ταύταις καὶ Ἅιδου καὶ τῶν ἐκεῖ δειμάτων ἐστίν· ἴσασιν οὐδένα Εὐρύνομον δαίμονα.

IV. Paus. x. 29. 6 ἔστι δὲ πεποιημένα ἐν Νόστοις Μινύου

VI. 2 *podio frao igyati* seu *igriati* codd. corr. Scaliger alii ὄφρ' οἱ genuinum videtur

μὲν τὴν Κλυμένην θυγατέρα εἶναι, γήμασθαι δὲ αὐτὴν Κεφάλῳ τῷ Δηίονος καὶ γενέσθαι σφίσιν Ἴφικλον παῖδα.

V. Paus. x. 30. 5 ὑπὲρ τούτους Μαῖρά ἐστιν ἐπὶ πέτρᾳ καθεζομένη. περὶ δὲ αὐτῆς πεποιημένα ἐστὶν ἐν Νόστοις ἀπελθεῖν μὲν παρθένον ἔτι ἐξ ἀνθρώπων, θυγατέρα δὲ αὐτὴν εἶναι Προίτου τοῦ Θερσάνδρου, τὸν δὲ εἶναι Σισύφου.

VI. Arg. Eur. Medeae . . . περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως·

> αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα
> γῆρας ἀποξύσασα ἰδυίῃσι πραπίδεσσι,
> φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησιν. 3

schol. Ar. Eq. 1321 ὥσπερ ἡ Μήδεια λέγεται, ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν αὐτῶν, ὡς δ' ὁ τοὺς Νόστους ποιήσας καὶ τὸν Αἴσονα, λέγων οὕτως [eadem].

VII. Paus. i. 2. 1 ἐσελθόντων δὲ ἐς τὴν πόλιν ἐστὶν Ἀντιόπης μνῆμα Ἀμαζόνος. ταύτην τὴν Ἀντιόπην Πίνδαρος μέν ⟨fr. 175⟩ φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι, Τροιζηνίῳ δὲ Ἡγίᾳ τοιάδε ἐς αὐτὴν πεποίηται· Ἡρακλέα Θεμίσκυραν πολιορκοῦντα τὴν ἐπὶ Θερμώδοντι ἑλεῖν μὴ δύνασθαι, Θησέως δὲ ἐρασθεῖσαν Ἀντιόπην· στρατεῦσαι γὰρ ἅμα Ἡρακλεῖ καὶ Θησέα· παραδοῦναι τὸ χωρίον. τάδε μὲν Ἡγίας πεποίηκεν.

Hegian Troezenium eundem esse atque Troezenium Agiam veri simile videtur. Nostorum poetam non alibi nominat Pausanias.

VIII. Clem. Alex. Strom. vi. 2. 12. 8 Αὐγίας ἐποίησε

> δῶρα γὰρ ἀνθρώπων νοῦν ἤπαφεν ἠδὲ καὶ ἔργα

αὐγίας ex αὐγείας Laur. v. 3 ; pro nostro Augian habuit Thiersch.

IX. Eustathius 1796. 45 ἐκ Κίρκης υἱοὶ καθ' Ἡσίοδον Ὀδυσσεῖ Ἄγριος καὶ Λατῖνος· ἐκ δὲ Καλυψοῦς Ναυσίθοος καὶ Ναυσίνοος. Ὁ δὲ τὴν Τηλεγονείαν γράψας Κυρηναῖος ⟨fr. 1⟩ ἐκ μὲν Καλυψοῦς Τηλέγονον υἱὸν Ὀδυσσεῖ ἀναγρά-

VI. 2 ἰδυίῃσι cod. Paris. 2713: εἰδ- cet.

φει καὶ Τηλέδαμον, ἐκ δὲ Πηνελόπης Τηλέμαχον καὶ Ἀρκεσίλαον. κατὰ δὲ Λυσίμαχον ⟨F. H. G. iii. 339⟩ υἱὸς αὐτῷ ἐξ Εὐίππης Θεσπρωτίδος Λεοντόφρων, ὃν ἄλλοι Δόρυκλόν φασι. Σοφοκλῆς δὲ ἐκ τῆς αὐτῆς Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τηλέμαχος. ὁ δὲ τοὺς νόστους ποιήσας Κολοφώνιος Τηλέμαχον μέν φησι τὴν Κίρκην ὕστερον γῆμαι, Τηλέγονον δὲ τὸν ἐκ Κίρκης ἀντιγῆμαι Πηνελόπην.

e Lysimacho περὶ νόστων (cf. Il. pers. iii) traxisse sua Eustathium veri simile est: cur autem hominem Troezenium Colophonium tamquam Antimachum vocaverit dubium.

X. Athen. 281 B φιλήδονον δ' οἱ ποιηταὶ καὶ τὸν ἀρχαῖόν φασι γενέσθαι Τάνταλον. ὁ γοῦν τὴν τῶν Ἀτρειδῶν ποιήσας κάθοδον ἀφικόμενον αὐτὸν λέγει πρὸς τοὺς θεοὺς καὶ συνδιατρίβοντα ἐξουσίας τυχεῖν παρὰ τοῦ Διὸς αἰτήσασθαι ὅτου ἐπιθυμεῖ. τὸν δὲ πρὸς τὰς ἀπολαύσεις ἀπλήστως διακείμενον ὑπὲρ αὐτῶν τε τούτων μνείαν ποιήσασθαι καὶ τοῦ ζῆν τὸν αὐτὸν τρόπον τοῖς θεοῖς· ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία τὴν μὲν εὐχὴν ἀποτελέσαι διὰ τὴν ὑπόσχεσιν, ὅπως δὲ μηδὲν ἀπολαύῃ τῶν παρακειμένων ἀλλὰ διατελῇ ταραττόμενος, ὑπὲρ τῆς κεφαλῆς ἐξήρτησεν αὐτῷ πέτρον, δι' ὃν οὐ δύναται τῶν παρακειμένων τυχεῖν οὐδενός.

aut de Agia aut de Eumelo cogitavit Athenaeus.

XI. Etym. Magn. 600. 8, Gud. 405. 1, Angelicum e cod. A. 3. 24 (Ritschl Opusc. i. 689) παρὰ μὲν τοῖς κυκλικοῖς αἱ ψυχαὶ νεκάδες λέγονται·

ἦ τέ κε δηρὸν
αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσι νεκάδεσσιν

Ἰλιάδος ε' [885, 6].

Ἰλιάδος ε' om. Gud. quae dicunt Etymologi si vera sunt possunt ad Νόστους referri, ubi (fr. 3) fuit Necyia. Cf. Düntzer *Nachtrag* 19.

XII. schol. Hom. β 120 Τυρὼ] Σαλμωνέως θυγάτηρ· ἔσχε δὲ παῖδας ἐκ Ποσειδῶνος Νηλέα καὶ Πελίαν. Ἀλκμήνη Ἠλεκτρύωνος θυγάτηρ. Μυκήνη Ἰνάχου θυγάτηρ

καὶ Μελίας τῆς Ὠκεανοῦ, ἧς καὶ Ἀρέστορος (ἀριστερός codd. em. Buttmann) Ἄργος, ὡς ἐν τῷ κύκλῳ φέρεται.

simili licet incerta ratione heroinas in Necyiam reposuimus, cf. frr. 3, 4, 5.

## Τηλεγονία

### *Testimonium*

Clemens Alex. Strom. VI. ii. 25. 1 ἤδη δὲ οὐ τὰς διανοίας μόνον καὶ λέξεις ὑφελόμενοι καὶ παραφράσαντες ἐφωράθησαν, ὡς ἐδείχθη, ἀλλὰ γὰρ καὶ τὰ φώρια ἄντικρυς ὁλόκληρα ἔχοντες διελεγχθήσονται· αὐτοτελῶς γὰρ τὰ ἑτέρων ὑφελόμενοι ὡς ἴδια ἐξήνεγκαν, καθάπερ Εὐγάμμων ὁ Κυρηναῖος ἐκ Μουσαίου ⟨fr. 6 Diels *Vorsokrat.* p. 49⟩ τὸ περὶ Θεσπρωτῶν βιβλίον ὁλόκληρον καὶ Πείσανδρος ὁ Καμιρεὺς Πεισίνου τοῦ Λινδίου τὴν Ἡράκλειαν, Πανύασις τε ὁ Ἁλικαρνασσεὺς παρὰ Κρεωφύλου τοῦ Σαμίου τὴν Οἰχαλίας ἅλωσιν.

I. Eust. 1796. 35 ἰστέον δὲ ὅτι γενεαλογοῦσι Διὸς μὲν καὶ Εὐρυοδίας Ἀρκείσιον, αὐτοῦ δὲ καὶ Χαλκομεδούσης Λαέρτην· τοῦ δὲ καὶ Ἀντικλείας Ὀδυσσέα· οὗ καὶ Πηνελόπης Τηλέμαχον· αὐτοῦ δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν, ὡς Ἡσίοδος ⟨fr. 17. 3⟩. Ἀριστοτέλης δὲ ἐν Ἰθακησίων πολιτείᾳ ⟨fr. 463⟩ καὶ Ἑλλάνικος ⟨fr. 141⟩ δὲ Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου καὶ γεννῆσαι τὸν Περσέπτολιν. τινὲς δὲ καὶ τοιούτοις λόγοις ἐνευκαιροῦσιν. ἐκ Κίρκης υἱοὶ καθ' Ἡσίοδον ⟨Theog. 1011⟩ Ὀδυσσεῖ Ἄγριος καὶ Λατῖνος, ἐκ δὲ Καλυψοῦς Ναυσίθοος καὶ Ναυσίνοος. ὁ δὲ τὴν Τηλεγονείαν γράψας Κυρηναῖος ἐκ μὲν Καλυψοῦς Τηλέγονον υἱὸν Ὀδυσσεῖ ἀναγράφει ἢ Τηλέδαμον, ἐκ δὲ Πηνελόπης Τηλέμαχον καὶ

5 εὐγάμμων] εὐγάμων cod. Laur. v. 3: εὐγράμμων Eus. Praep. ev. x. 2. 7

colonia deducta est Cyrenam annis A. C. 640–631. Telegoniam scripsit et Cinaethon Laco teste Euseb. Chron. ad Ol. iv. 2 [A. C. 762] E. G. F. p. 196

Ἀρκεσίλαον. κατὰ δὲ Λυσίμαχον ⟨F. H. G. iii. 339⟩ υἱὸς αὐτῷ ἐξ Εὐίππης Θεσπρωτίδος Λεοντόφρων, ὃν ἄλλοι Δόρυκλόν φασι. Σοφοκλῆς δὲ ⟨in dramate Ὀδυσσεὺς ἀκανθόπληξ ut vid.⟩ ἐκ τῆς αὐτῆς Εὐρύαλον ἱστορεῖ ὃν ἀπέκτεινε Τηλέμαχος. ὁ δὲ τοὺς νόστους ποιήσας Κολοφώνιος ⟨Nostoi fr. ix⟩ Τηλέμαχον μέν φησι τὴν Κίρκην ὕστερον γῆμαι, Τηλέγονον δὲ τὸν ἐκ Κίρκης ἀντιγῆμαι Πηνελόπην. περιττὰ ταῦτα καὶ κενὴ μοχθηρία. εἰ δ' οὖν στενῶς φράζοιντο, μικρὸν τὸ βλάβος. inde Eudocia 77. 11. pauca tantum schol. M⁴. cf. et scholl. Lycophr. 818 ad finem.

quae de Telegonia aeque ac quae de Nostis dicit videtur Eust. e Lysimacho sumpsisse. quae narrat Plutarchus quaest. graec. 14 (Aristotel. fr. 464) fortasse e Telegonia fluxerunt.

# CARMINA EPICA CYCLO NON COMPREHENSA

## I

## AMPHIARAI EXELASIS

Vit. Herod. c. 9 Homerus cum Neontichos advenisset κατήμενος ἐν τῷ σκυτείῳ παρεόντων καὶ ἄλλων τήν τε ποίησιν αὐτοῖς ἐπεδείκνυτο Ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν ἐς Θήβας καὶ τοὺς ὕμνοὺς τοὺς ἐς θεοὺς πεποιημένους αὐτῷ.

Suidas in Homero 37 ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα . . . Ἀμφιαράου ἐξέλασις . . .

## II

## OECHALIAE HALOSIS

Suid. in Homero 37 ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα . . . Ἀμφιαράου ἐξέλασις, παίγνια, Σικελίας (Οἰχαλίας Pearson) ἅλωσις . . .

Strabo 438 τὴν δ' Οἰχαλίαν πόλιν Εὐρύτου λεγομένην

ἔν τε τοῖς τόποις τούτοις ἱστοροῦσι καὶ ἐν Εὐβοίᾳ καὶ ἐν Ἀρκαδίᾳ, καὶ μετονομάζουσιν ἄλλοι ἄλλως, ὃ καὶ ἐν τοῖς Πελοποννησιακοῖς εἴρηται ⟨338⟩. περὶ δὲ τούτων ζητοῦσι καὶ μάλιστα τίς ἦν ἡ ὑπὸ Ἡρακλέους ἁλοῦσα, καὶ περὶ τίνος συνέγραψεν ὁ ποιήσας τὴν Οἰχαλίας ἅλωσιν.

638 Σάμιος δ' ἦν καὶ Κρεώφυλος, ὅν φασι δεξάμενον ξενίᾳ ποτὲ Ὅμηρον λαβεῖν δῶρον τὴν ἐπιγραφὴν τοῦ ποιήματος ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν. Καλλίμαχος δὲ τοὐναντίον ἐμφαίνει δι' ἐπιγραμματός τινος (vi. W.) ὡς ἐκείνου μὲν ποιήσαντος λεγομένου δ' Ὁμήρου διὰ τὴν λεγομένην ξενίαν·

τοῦ Σαμίου πόνος εἰμί, δόμῳ ποτὲ θεῖον Ὅμηρον
 δεξαμένου· κλείω δ' Εὔρυτον ὅσσ' ἔπαθεν
καὶ ξανθὴν Ἰόλειαν, Ὁμήρειον δὲ καλεῦμαι
 γράμμα· Κρεωφύλῳ Ζεῦ φίλε τοῦτο μέγα.

τινὲς δὲ διδάσκαλον Ὁμήρου τοῦτόν φασιν, οἱ δ' οὐ τοῦτον ἀλλ' Ἀριστέαν τὸν Προκοννήσιον.

epigramma habet et Sext. Emp. adv. Math. i. 47 = 226 lecto Κρεωφύλου pro τοῦ Σαμίου v. 1.

cf. Paus. iv. 2. 3 (fr. 2).

Plat. rep. 600 B ὁ γὰρ Κρεώφυλος, ὦ Σώκρατες, ἴσως, ὁ τοῦ Ὁμήρου ἑταῖρος τοῦ ὀνόματος ἂν γελοιότερος ἔτι πρὸς παιδείαν φανείη, εἰ τὰ λεγόμενα περὶ Ὁμήρου ἀληθῆ. λέγεται γὰρ ὡς πολλή τις ἀμέλεια περὶ αὐτὸν ἦν ἐπ' αὐτοῦ ἐκείνου ὅτε ἔζη. schol. in loc. Κρεώφυλος Χῖος, ἐποποιός. τινὲς δὲ αὐτὸν ἱστορήκασι γαμβρὸν Ὁμήρου ἐπὶ θυγατρί, καὶ ὅτι ὑποδεξάμενος Ὅμηρον ἔλαβε παρ' αὐτοῦ τὸ ποίημα τῆς Ἰλιάδος.

Suidas Κρεώφυλος. Ἀστυκλέους, Χῖος ἢ Σάμιος, ἐποποιός· τινὲς δὲ αὐτὸν ἱστόρησαν Ὁμήρου γαμβρὸν ἐπὶ θυγατρί. οἱ δὲ φίλον μόνον γεγονέναι αὐτὸν Ὁμήρου λέγουσι, καὶ ὑποδεξάμενον Ὅμηρον λαβεῖν παρ' αὐτοῦ τὸ ποίημα τὴν τῆς Οἰχαλίας ἅλωσιν.

Eust. 330. 41 περὶ δὲ Οἰχαλίας ἐν τῷ τῶν Πυλίων

*καταλόγῳ* ⟨298. 16⟩ *ἱκανῶς ἐρρέθη· τῆς Θεσσαλικῆς δὲ νῦν Ὅμηρος μέμνηται. εἴρηται δὲ καὶ περὶ Εὐρύτου ἐκεῖ καὶ τῆς αὐτοῦ θυγατρὸς Ἰόλης δι' ἣν ἐπόρθησεν Ἡρακλῆς τὴν Οἰχαλίαν. εἰς ἣν δοκεῖ γράψαι καὶ Ὅμηρος, ὡς δηλοῖ ὁ ἱστορήσας ὅτι Κρεώφυλος ὁ Σάμιος ξενίᾳ ποτε δεξάμενος τὸν Ὅμηρον ἔλαβε δῶρον ἐξ αὐτοῦ τὴν ἐπιγραφὴν τοῦ ποιήματος ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν, τουτέστιν ἔσχεν εἰς ἀντίδοσιν ἐξ Ὁμήρου τὸ μὴ ἐπιγράψαι τὸ βιβλίον ἑαυτῷ ἀλλὰ τῷ φίλῳ Κρεωφύλῳ, οἷον ὅτι Κρεωφύλου Σαμίου Οἰχαλίας ἅλωσις. τινὲς δὲ ἀνάπαλίν φασι Κρεώφυλον μὲν γράψαι Ὁμήρῳ δὲ ἐπιγραφῆναι τὸ βιβλίον διὰ τὴν ξενίαν. διὸ καὶ Καλλίμαχος* [ut supra]· *τινὲς δὲ καὶ διδάσκαλον Ὁμήρου τὸν Κρεώφυλον εἶπον, ἕτεροι δὲ Ἀρισταῖον τὸν Προκοννήσιον, ὡς καὶ ταῦτα ὁ γεωγράφος ἱστορεῖ* ⟨638 supra⟩. similia traduntur de Stasino et Cypriis, p. 117.

I. Epimerism. Hom. Cram. An. Ox. i. 327
*ἔνθεν λύσομεν καὶ τὸ ἐν Ὀδυσσείᾳ προτεινόμενον*
*ῥωγαλέα τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὅρηαι* ⟨ξ 343⟩
*τοῦτο δὲ εὑρήσομεν καὶ ἐν τῇ Οἰχαλίας ἁλώσει, ἣ εἰς Ὅμηρον ἀναφέρεται, ἔστι δὲ Κρεώφυλος ὁ ποιήσας. Ἡρακλῆς δ' ἐστὶν ὁ λέγων πρὸς Ἰόλην*
*ὦ γύναι αὐτὴ ταῦτα τ' ἐν ὀφθαλμοῖσιν ὅρηαι.*

II. Paus. iv. 2. 3 *Θεσσαλοὶ δὲ καὶ Εὐβοεῖς, ἥκει γὰρ δὴ ες ἀμφισβήτησιν τῶν ἐν τῇ Ἑλλάδι τὰ πλείω, λέγουσιν οἱ μὲν ὡς τὸ Εὐρύτιον· χωρίον δ' ἔρημον ἐφ' ἡμῶν ἐστι τὸ Εὐρύτιον· πόλις τὸ ἀρχαῖον ἦν καὶ ἐκαλεῖτο Οἰχαλία, τῷ δὲ Εὐβοέων λόγῳ Κρεώφυλος ἐν Ἡρακλείᾳ πεποίηκεν ὁμολογοῦντα, Ἑκαταῖος δὲ ὁ Μιλήσιος* ⟨fr. 106⟩ *ἐν Σκίῳ μοίρᾳ τῆς Ἐρετρικῆς ἔγραψεν εἶναι Οἰχαλίαν.*

III. schol. Soph. Trach. 266 *διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός· Ἡσίοδος μὲν γὰρ δ' φησιν ἐξ Εὐρύτου*

I. 3 *Οἰχαλίας*] *Χαλίας* cod. 6 *αὐτὴ* add. Köchly

καὶ Ἀντιόχης παῖδας οὕτως ⟨fr. 110⟩, Κρεώφυλος δὲ β′, Ἀριστοκράτης ⟨F. H. G. iv. 333⟩ δὲ γ′.

IV. schol. Eur. Med. 264 Δίδυμος δὲ ἐναντιοῦται τούτῳ [τῷ Παρμενίσκῳ] καὶ παρατίθεται τὰ Κρεωφύλου ἔχοντα οὕτως· τὴν γὰρ Μήδειαν λέγεται διατρίβουσαν ἐν Κορίνθῳ τὸν ἄρχοντα τότε τῆς πόλεως Κρέοντα ἀποκτεῖναι φαρμάκοις. δείσασαν δὲ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ υἱούς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν, ἐπὶ τὸν βωμὸν τῆς Ἀκραίας Ἥρας καθίσαι νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς διαδοῦναι λόγον ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε.

## III. PHOCAIS

Herod. vit. c. 16 διατρίβων δὲ παρὰ τῷ Θεστορίδῃ ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω ἧς ἡ ἀρχή ⟨fr. 1⟩, καὶ τὴν καλουμένην Φωκαΐδα, ἥν φασιν οἱ Φωκαεῖς Ὅμηρον παρ᾽ αὐτοῖσι ποιῆσαι. ἐπεὶ δὲ τήν τε Φωκαΐδα (φωκίδα Ma$^1$ Ma$^2$) καὶ τἄλλα πάντα παρὰ τοῦ Ὁμήρου ὁ Θεστορίδης ἐγράψατο, διενοήθη ἐκ τῆς Φωκαίης ἀπαλλάσσεσθαι, τὴν ποίησιν θέλων τοῦ Ὁμήρου ἐξιδιώσασθαι.

## *Versus heroici Homero adscripti qui neque in Iliade Odyssea Hymnis neque in Cycli fragmentis inveniuntur.*

I, II.

Hippocrates περὶ ἄρθρων ἐμβολῆς 8.

καλῶς γὰρ Ὅμηρος καταμεμάθηκε ὅτι πάντων τῶν προβάτων βόες μάλιστα ἀτονέουσι ταύτην τὴν ὥρην, καὶ βοῶν οἱ ἀρόται, ὅτι τὸν χειμῶνα ἐργάζονται. τούτοισι τοίνυν καὶ ἐκπίπτει μάλιστα· οὗτοι γὰρ μάλιστα λεπτύνονται. . . . διὰ τοῦτο οὖν ἐποίησεν τάδε τὰ ἔπη·

ὡς δ' ὁπότ' ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν

ὅτι ἀσμενωτάτη αὐτοῖσιν ἡ βαθεῖα ποίη φαίνεται.

Mochlicon 5 ὦμος δὲ ἐκπίπτει κάτω· . . . οἷον καὶ βουσὶ χειμῶνος φαίνεται διὰ λεπτότητα . . . τό τε Ὁμήρειον καὶ διότι λεπτότατοι βόες τηνικαῦτα.

III. Plat. Gorg. 516 C οὐκοῦν οἵ γε δίκαιοι ἥμεροι, ὡς ἔφη Ὅμηρος.

IV. Xen. Sympos. viii. 30

καὶ ἐγὼ δέ φημι καὶ Γανυμήδην οὐ σώματος ἀλλὰ ψυχῆς ἕνεκα ὑπὸ Διὸς εἰς Ὄλυμπον ἀνενεχθῆναι. μαρτυρεῖ δὲ τοὔνομα αὐτοῦ· ἔστι μὲν γὰρ δήπου καὶ Ὁμήρῳ

γάνυται δέ τ' ἀκούων·

τοῦτο δὲ φράζει ὅτι ἥδεται δέ τ' ἀκούων. ἔστι δὲ καὶ ἄλλοθί που

πυκινὰ φρεσὶ μήδεα εἰδώς·

τοῦτο δ' αὖ λέγει σοφὰ φρεσὶ βουλεύματα εἰδώς.

auctor seu cyclici carminis seu hymni figura ludit etymologica.

V. Plato Phaedr. 252 B λέγουσι δέ, οἶμαι, τινὲς Ὁμηριδῶν ἐκ τῶν ἀποθέτων ἐπῶν δύο ἔπη εἰς τὸν Ἔρωτα, ὧν τὸ ἕτερον ὑβριστικὸν πάνυ καὶ οὐ σφόδρα τι ἔμμετρον· ὑμνοῦσι δὲ ὧδε·

τὸν δ' ἤτοι θνητοὶ μὲν Ἔρωτα καλοῦσι ποτηνόν,
ἀθάνατοι δὲ Πτέρωτα διὰ πτερόφοιτον ἀνάγκην.

unde hos versus traxerit Plato incertum : hymnum sapere nobis visi sunt C. Q. 1907. 136.

VI. Aeschines i. § 128 καὶ οὕτως ἐναργές ἐστι καὶ οὐ πεπλασμένον ὃ λέγω ὥσθ' εὑρήσετε καὶ τοὺς προγόνους φήμης ὡς θεοῦ μεγίστης βωμὸν ἱδρυμένους, καὶ τὸν Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι

φήμη δ' ἐς στρατὸν ἦλθε.

Dem. Epitaph. 29 v. Iliu pers. IV; Aristoph. Pac. 1282, 1283, 1286, 1287 v. p. 116.

I, II. 6 Cf. ψ 233 ὡς δ' ὅτ' ἂν ἀσπάσιος γῆ νηχομένοισι φανήῃ, Hes. O. D. 585 sqq.
VI. 6 ἦλθε] ἧκε cod. Par. 3002

VII. schol. T Ω 420 ἀδύνατον νεκρῶν τραύματα μύειν, ὥς φησιν Ἀριστοτέλης ⟨fr. 159 Rose⟩ εἰρηκέναι Ὅμηρον

μῦσεν δὲ περὶ βροτόεσσ' ὠτειλή.

τοῦτο δὲ τὸ ἡμιστίχιον οὐ φέρεται.

verissime scholiasta.

VIII. Ar. de An. I. c. 2. 404 A 25 ὁμοίως δὲ καὶ Ἀναξαγόρας ψυχὴν εἶναι λέγει τὴν κινοῦσαν, καὶ εἴ τις ἄλλος εἴρηκεν ὡς τὸ πᾶν ἐκίνησε νοῦς, οὐ μὴ παντελῶς γ' ὥσπερ Δημόκριτος ⟨§ 100 Diels⟩. ἐκεῖνος μὲν γὰρ ἁπλῶς ταὐτὸν ψυχὴν καὶ νοῦν· τὸ γὰρ ἀληθὲς εἶναι τὸ φαινόμενον· διὸ καλῶς ποιῆσαι τὸν Ὅμηρον ὡς

Ἕκτωρ κεῖτ' ἀλλοφρονέων.

IX, X, XI. Ar. Eth. Nic. iii. 8. 1116 B 26 ἰτητικώτατον γὰρ ὁ θυμὸς πρὸς τοὺς κινδύνους, ὅθεν καὶ Ὅμηρος

σθένος ἔμβαλε θυμῷ
καὶ μένος καὶ θυμὸν ἔγειρε
καὶ δριμὺ δ' ἀνὰ ῥῖνας μένος ⟨ω 318, 319 ordine turbato⟩
καὶ ἔζεσεν αἷμα.

XII. Chrysippus ap. Galen. de plac. Hipp. et Plat. iii. 115

πρῆσεν ἐνὶ στήθεσφιν ἐρισθενέος Διὸς ἀλκὴν γνωμέναι.

XIII. idem ib.

τότε δὴ στηθέων θ' ἅμα φρένας ἐξέλετο Ζεύς

emendatio incerta. cf. P 470 Z 234 T 137.

XIV. idem ib.

ἄλλο δ' ἐνὶ στήθεσσι νόος καὶ μῆτις ἀμύμων.

XV. Plutarchus vit. Hom. ii. 23 ἔστι δὲ καὶ ἄλλος τρόπος ἡ μετωνυμία . . . οἷόν ἐστι παρ' αὐτῷ

ἦμος ὅτ' αἰζηοὶ Δημήτερα κωλοτομεῦσι

VIII. eadem Alex. Aphr., Themist., Syrian., Asclep., Simpl., Philop., Elias. cf. Λ 356 quem notavit Ar., Ξ 420 saepe omissum.

IX. 3 Cf. Λ 11 Ξ 151 σθένος ἔμβαλ' ἑκάστῳ Π 529 μένος δέ οἱ ἔμβαλε θυμῷ 4 Cf. E 510 Τρωσὶν θυμὸν ἐγεῖραι O 232 οἱ ἔγειρε μένος μέγα 594 ὅ σφισιν αἰὲν ἔγειρε μένος μέγα 6 ῥέε, ἔρρεεν de sanguine sollemnia

idem de Iside et Osiride 66, 377 D
*ποιητής δέ τις ἐπὶ τῶν θεριζόντων*

*τῆμος ὅτ' αἰζηοὶ Δημήτερα κωλοτομεῦσιν.*

XVI. Plut. vit. Hom. ii. 20
*εἰσὶ δὲ παρ' αὐτῷ μεταφοραὶ ποικίλαι, αἱ μὲν ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα, οἷον*

*φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρῴροιο.*

anonymus in anecd. graec. Boissonadii iii. 286 *ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀντιστρέφουσιν, αἱ δ' οὔ. καὶ ἀντιστρέφουσι μὲν αἱ τοιαῦται* [eadem] *καὶ*

*ἵππων κυβερνητῆρες* ⟨cf. Oppian. i. 96⟩.

XVII. idem ii. 55 *τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ*

*δωρήσω τρίποδα χρυσούατον*

*ἀντὶ τοῦ δωρήσομαι.*

XVIII. schol. in Lycophr. 86 *λεύσσω θέοντα γρυνόν*] . . . *γρυνὸν δὲ εἶπε τὸν Ἀλέξανδρον κατὰ μετωνυμίαν καλέσας· γρυνὸς γάρ ἐστιν ὁ κορμός· καὶ Ὅμηρος*

*γρυνοὶ μὲν δαίοντο μέγας δ' Ἥφαιστος ἀνέστη*

eundem versum Etym. magn. 241. 45 sed *γρουνοί.*

XIX. Ammonius *περὶ διαφορᾶς ὀνομάτων* in v. *οὗτος*

*οὗτός τοι Διομήδης.*

XX. id. in v. *ληιτουργεῖν*

*λήιτον ἀμφεπένοντο.*

XXI. Galenus in Hippocr. *περὶ ἀγμῶν* ii. 70
*καὶ μέσον μὲν γὰρ ὁ ποιητὴς ἑνικῶς εἶπεν αὐτό·*

*περὶ ζώνην*
*βάλλεται ἰξύην ἑκατὸν θυσάνοις ἀραρυῖαν.*

cf. Ξ 181. corrupta fortasse varia lectio versuum ε 231 κ 544 sc.

*περὶ δὲ ζώνην βάλετ' ἰξυῖ*
*καλὴν χρυσείην ἑκατὸν θυσάνοις ἀραρυῖαν.*

XXII. Ammonius in Porph. isag. prooem. 4 r. 30 (ed. Busse, p. 9) *καὶ ὁ ποιητὴς*

*ἐπεὶ σοφὸς ἤραρε τέκτων.*

Clem. Alex. strom. i. 4. 1 Ὅμηρος δὲ καὶ τέκτονα σοφὸν καλεῖ.

eadem Nicomach. isag. init. Elias proleg. philosoph. c. 9 David id. c. 15, Eust. 1023. 14. cf. Ψ 712 τούς τε κλυτὸς ἤραρε τέκτων. Bywater J. Ph. vii. 66.

XXIII. Servius in Verg. Aen. xii. 691 striduntque hastilibus aurae] *Homerus*

συρίζουσα ΜΑΚЄΛΟΝ ΙCΙΤΙΤΑΤΕ λόγχη

conicias μακεδνόν (auctori idem quod μακρόν) et ἵστατο vel ἵπτατο.

XXIV. Probus in Verg. Georg. ii. 506

*Tyron enim Sarram appellatam Homerus docuit.*

XXV. Suidas θωύσσοντες· ὑλακτοῦντες. Ὅμηρος

βαρύβρομα θωύσσοντες.

His versibus, quorum hi pro variis lectionibus Homericis habendi videntur esse, hi e cyclo vel hymnis orti, illi adiciendi sunt quos scriptor vitae Herodoteae nescio unde decerpsit.

| | |
|---|---|
| 96–100 | αἰδεῖσθε ξενίων |
| 120, 1 | αἶψα πόδες |
| 164 | οἵῃ μ' αἴσῃ δῶκε |
| 203, 4 | Θεστορίδη |
| 225–32 | κλῦθι Ποσειδάων |
| 239–41 | πότνια γῆ |
| 251–4 | ναῦται ποντοπόροι |
| 270–3 | ἄλλη τίς σου πεύκη |
| 292–5 | Γλαῦκε βοτῶν |
| 401–4 | κλῦθί μοι εὐχομένῳ κουροτρόφε |
| 409–13 | ἀνδρὸς μὲν στέφανος παῖδες |
| 487, 8 | τοίων γὰρ πατέρων |

versus hexametricos anonymos quotquot exstant colligere non huius loci est: licet tamen adferre initium versus in vase inscriptum apud Kretschmerum *Vaseninschriften* p. 90 n. 64

ωδε ποτ εν τιρυνθι

quattuor pedes ab Hephaestione Ench. 1. 3. servatos

Τίρυνς οὐδέ τι τεῖχος ἐπήρκεσε.

praebuit papyrus nonnullos qui supra Alexandrinam aetatem videntur ascendere, sed fragmenta tantum: cf. *Greek Papyri, Series II*, 1897, p. 13, *Hibeh Papyri* i. 1906, p. 41, *Oxyrhynchus Papyri* iii. n. 422 sqq., vi. n. 859, 864, *Berliner Klassikertexte* ii, p. 145 sqq., Pap. Mus. Brit. 121 in *Greek Papyri in the British Museum* 1893 f. 83 sqq. in hac cf. v. 42 τω νυν μηδε συ [τα]υτα τεη ειπησθα γυναικι.

# III. LVSVS SIVE PAEGNIA

## MARGITES

### *Testimonia*

Plato Alcib. ii. 147 C (v. fr. 3).

Hyperides pro Lycophr. col. vi. 21 *καὶ ταῦ[τα δο]κεῖ ἂν ὑμῖν ἢ ['Ορέστης] ἐκεῖνος ὁ μαινόμενος ποιῆσαι ἢ Μαργίτης ὁ πάντων ἀβελτερώτατος;*

Aeschines in Ctes. § 160 (v. Harpocrationem infra cit ).

Aristoteles Poet. c. 4. 1448 B 24 *διεσπάσθη δὲ κατὰ τὰ οἰκεῖα ἤθη ἡ ποίησις· οἱ μὲν γὰρ σεμνότεροι τὰς καλὰς ἐμιμοῦντο πράξεις καὶ τὰς τῶν τοιούτων, οἱ δὲ εὐτελέστεροι τὰς τῶν φαύλων, πρῶτον ψόγους ποιοῦντες ὥσπερ ἕτεροι ὕμνους καὶ ἐγκώμια. τῶν μὲν οὖν πρὸ Ὁμήρου οὐδενὸς ἔχομεν εἰπεῖν τοιοῦτον ποίημα, ἀπὸ δὲ Ὁμήρου ἀρξαμένοις ἔστιν, οἷον ἐκείνου ὁ Μαργίτης καὶ τὰ τοιαῦτα. ἐν οἷς κατὰ τὸ ἁρμόττον ἰαμβεῖον ἦλθε μέτρον, διὸ καὶ ἰαμβεῖον καλεῖται νῦν, ὅτι ἐν τῷ μέτρῳ τούτῳ ἰάμβιζον ἀλλήλους· καὶ ἐγένοντο τῶν παλαιῶν οἱ μὲν ἡρωικῶν οἱ δὲ ἰάμβων ποιηταί. ὥσπερ δὲ καὶ τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν, μόνος γὰρ οὐχ ὅτι εὖ ἀλλ' ὅτι καὶ μιμήσεις δραματικὰς ἐποίησεν, οὕτως καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν οὐ ψόγον ἀλλὰ τὸ γελοῖον δραματοποιήσας· ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει ὥσπερ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας.*

Polybius xii. 4 a *ἢ γὰρ δεῖ τὸν Ἔφορον ὑπερβεβηκέναι τῇ μωρίᾳ καὶ τὸν Κόροιβον καὶ τὸν Μαργίτην, εἰ μὴ δυνατὸς ἦν συλλογίσασθαι διότι τὰ τετταράκοντα καὶ δύο προτεθέντα τοῖς εἴκοσι καὶ τρισὶν ἑξήκοντα γίνεται καὶ*

πέντε· ἢ . . . φανερὸν ὅτι τὸ μὲν ἁμάρτημά ἐστι τοῦ γραφέως.

Polybius xii. 25 ταῦτα γὰρ οὐχ οἷον Τίμαιον εἰρηκέναι τις ἂν πιστεύσειεν, ἀλλ' οὐδὲ τὸν λεγόμενον Μαργίτην ἐκεῖνον.

Harpocration in v. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ⟨160⟩· ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἔθετο (sc. ὁ Δημοσθένης) καὶ Μαρσύας ἐν ε´ τῶν περὶ Ἀλεξάνδρου ⟨scr. rer. Alex. Magn. p. 43 fr. 8⟩ ἱστορεῖ λέγων Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον· ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος ⟨74 a Schn.⟩ θαυμάζειν ἔοικεν.

Plutarch. Demosth. 23 καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης, καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως ἔγραφε τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ Μαργίτην ἀποκαλῶν αὐτόν.

Lucianus Hermot. 17 ὁρᾷς ὅπως αὖθις ἐξαπατᾷς με καὶ οὐ λέγεις τἀληθές, ἀλλ' οἴει Μαργίτῃ διαλέγεσθαί τινι; Philopseud. 3 ὃς δ' ἂν οὖν ταῦτα καταγέλαστα ὄντα μὴ οἴηται ἀληθῆ εἶναι, ἀλλ' ἐμφρόνως ἂν ἐξετάζων ταῦτα Κοροίβου τινὸς ἢ Μαργίτου νομίζοι τὸ πείθεσθαι ἢ Τριπτόλεμον ἐλάσαι διὰ τοῦ ἀέρος ἐπὶ δρακόντων ὑποπτέρων ἢ Πᾶνα ἥκειν ἐξ Ἀρκαδίας σύμμαχον ἐς Μαραθῶνα ἢ Ὠρείθυιαν ὑπὸ τοῦ Βορέου ἀναρπασθῆναι, ἀσεβὴς οὗτός γε καὶ ἀνόητος αὐτοῖς ἔδοξεν οὕτω προδήλοις καὶ ἀληθέσι πράγμασιν ἀπιστῶν.

Hephaest. Encheir. c. 17, p. 63 Westphal. μετρικὰ δὲ ἄτακτα ὅσα ἐκ μέτρων μὲν ὁμολογουμένων συνέστηκε, τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει, οὔτε κατὰ στίχον οὔτε κατὰ συστήματα, οἷός ἐστιν ὁ Μαργίτης ὁ εἰς Ὅμηρον ἀναφερόμενος, ἐν ᾧ παρέσπαρται τοῖς ἔπεσιν ἰαμβικά, καὶ ταῦτα οὐ κατ' ἴσον σύστημα. τοιοῦτόν ἐστι καὶ τὸ Σιμωνίδειον ἐπίγραμμα [188]

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην
οὐ πλάτεϊ νικῶν σώματος ἀλλὰ τέχνᾳ.
Ἀριστόδαμος Θράσιδος Ἀλεῖος πάλᾳ.

eiusdem περὶ ποιήματος c. 3, p. 66 Westphal. μετρικὰ δὲ ἄτακτά ἐστιν ἅπερ μέτρῳ μὲν γέγραπταί τινι, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν, οἷόν ἐστι τὸ τοῦ Σιμωνίδου ἐπίγραμμα [188]· τοιοῦτός ἐστι καὶ ὁ Μαργίτης Ὁμήρου· οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν τὸ ἰαμβικὸν ἐπιφέρεται. schol. ad loc. (p. 218 West.) μετὰ γὰρ δέκα στίχους ἐπιφέρει ἴαμβον, καὶ πάλιν μετὰ πέντε καὶ ὀκτώ.

Dio Prusaensis 53. 4 γέγραφε δὲ καὶ Ζήνων ὁ φιλόσοφος ⟨fr. 274 Arn.⟩ εἴς τε τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν καὶ περὶ τοῦ Μαργίτου δέ· δοκεῖ γὰρ καὶ τοῦτο τὸ ποίημα ὑπὸ Ὁμήρου γεγονέναι νεωτέρου καὶ ἀποπειρωμένου τῆς αὑτοῦ φύσεως πρὸς ποίησιν.

Lucius Tarrhaeus ut vid. in cod. Mus. Brit. add. 5118 (ap. Cramer. An. Ox. iv. 315 f. 38) ἕκτον κρίσις ποιημάτων· πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς ἡ Σοφοκλέους Ἀντιγόνη· λέγεται γὰρ εἶναι Ἀντιφῶντος (sc. Ἰοφῶντος) τοῦ Σοφοκλέους υἱοῦ. ὁμοίως τὰ Κυπριακὰ καὶ ὁ Μαργίτης, Ἀράτου τὰ θυτικὰ καὶ τὰ περὶ ὀρνέων, Ἡσιόδου Ἀσπίς.

schol. in Aeschin. l. c. Μαργίτην φησὶν ἄνθρωπον γεγονέναι, ὃς ἐτῶν πολλῶν γενόμενος οὐκ ᾔδη ὅστις αὐτὸν ἔτεκεν, πότερον ὁ πατὴρ ἢ ἡ μήτηρ, τῇ δὲ γαμετῇ οὐκ ἐχρῆτο. δεδιέναι γὰρ ἔλεγε μὴ διαβάλλοι αὐτὸν πρὸς τὴν μητέρα. cf. fr. 4.

Suidas Πίγρης· Κὰρ ἀπὸ Ἁλικαρνασσοῦ, ἀδελφὸς Ἀρτεμισίας τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλου γυναικός· ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγειῶν, οὕτω γράψας·

μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος
Μοῦσα, σὺ γὰρ πάσης πείρατ᾽ ἔχεις σοφίης.

ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην καὶ Βατραχομυομαχίαν.[1]

unde Eudocia 358.

Tzetzes Exeges. in Iliad. p. 37 βίβλους δὲ ταύτας ἐξεπονήσατο [ὁ Ὅμηρος], τήν τε Μυοβατραχομαχίαν, ἥν τινες Τίγρητος εἶναί φασι τοῦ Καρός, καὶ τὸν Μαργίτην, ᾧ ποιήματι οὐκ ἐνέτυχον.

saeculo igitur duodecimo p. Chr. n. non amplius exstitit.

Marius Victorinus artis grammaticae libri IIII. i. 68 Keil *nam cum superiorem versum plerumque chorius, sequentem iambus terminet, non absurde choriambicam clausulam idem adfectasse in eius modi modulatione dicitur, ea videlicet contemplatione qua viderit Homerum fontem atque originem metricae disciplinae non tantum in duobus corpusculis Iliados et Odysseae his versibus teliambis frequenter usum, sed et in eo carmine cui Margitae nomen est eundem herois hexametris trimetros iambicos tamquam pares numero miscuisse viderit, qua ratione id in opere suo Livius.*

id. ii. p. 79 Keil

*hexametro dactylico trimeter iambicus comparatur, quem latine senarium nominamus, veluti hexametron: sex enim pedes iambus habet, ut ille dactylos, cum uterque purus ex se figuratur (trimetra autem appellatur a Graecis quia tribus percussionibus per dipodias caeditur): ideoque dicitur et Homerus in Margite suo miscuisse hos versus tamquam pares.*

id. iii. p. 133 K. *hoc genere versuum ut supra diximus primus usus est Homerus in Margite suo, nec tamen totum carmen ita digestum perfecit. nam duobus pluribusve hexametris antepositis istum subiciens copulavit, quod postea Archilochus limatius interpolando composuit.*

Eustratius in Aristot. Eth. Nic. vi. 7. 1141 A 12 ed. Heylbut p. 320 παράγει δ' εἰς μαρτυρίαν τοῦ εἶναι τὸν ὅλως σοφὸν ἕτερον παρὰ τόν τινα σοφὸν καί τινα ποίησιν Μαργίτην ὀνομαζομένην Ὁμήρου. μνημονεύει δ' αὐτῆς οὐ

[1] Cf. et vit. Herod. c. 24, Plut. i. 5, Procul. p. 102. 5, v. 23, Suid. 45.

μόνον αὐτὸς Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ ποιητικῆς ⟨c. 4⟩ ἀλλὰ καὶ Ἀρχιλόχος ⟨fr. 153⟩ καὶ Κρατῖνος ⟨fr. 332⟩ καὶ Καλλίμαχος ⟨fr. 74 a⟩ ἐν τῷ ἐπιγράμματι, καὶ μαρτυροῦσιν εἶναι Ὁμήρου τὸ ποίημα . . . ὁ δὲ Ὅμηρος λέγων ἐν τῷ Μαργίτῃ [eadem quae in fr. ii] περὶ σοφοῦ λέγει ὅλως ὄντος καὶ κυρίως σοφοῦ, καὶ οὐ κατά τι σοφοῦ.

I. Atilius Fortunatianus p. 286 Keil (Gram. Lat. vol. vi) *sequitur ut de iambico dicere debeamus, cuius auctorem alii Archilochum alii Hipponactem volunt. sed primus Homerus hoc usus est in Margite.*

ἦλθέ τις εἰς Κολοφῶνα γέρων καὶ θεῖος ἀοιδός,
Μουσάων θεράπων καὶ ἐκηβόλου Ἀπόλλωνος,
φίλην ἔχων ἐν χερσὶν εὔφθογγον λύραν. 3

frag. cod. Berol. 66 ib. p. 633
*ideoque dicitur Homerus in Margite suo miscuisse hos versus tamquam pares* [eadem] *quod exemplum posuissem si in animo esset latinum librum graecis complere versibus, cum hoc cognoscere volentibus liceat Homeri legere Margiten.*

hoc saeculo igitur iam exstabat.

schol. Ar. Av. 913 θεράποντες ὀτρηροί] ἐπειδὴ ὀτρηροὶ ἐπὶ τῶν θεραπόντων λέγεται. ἐπεπίστευτο δὲ καὶ ὁ Μαργίτης τοῦ Ὁμήρου εἶναι. ἐν ᾧ εἴρηται [v. 2].

II. Aristoteles Eth. Nic. vi. 7. 1141 A 12 εἶναι δέ τινας σοφοὺς οἰόμεθα ὅλως οὐ κατὰ μέρος οὐδ' ἄλλο τι σοφούς, ὥσπερ Ὅμηρός φησιν ἐν τῷ Μαργίτῃ

τὸν δ' οὔτ' ἄρ' σκαπτῆρα θεοὶ θέσαν οὔτ' ἀροτῆρα
οὔτ' ἄλλως τι σοφόν. πάσης δ' ἡμάρτανε τέχνης. 2

eadem in eundem loc. Eustratius p. 320, Heliodorus p. 121 Heylbut.

6 Ἀριστοφάνης Ruhnken: Ἀρχιλόχοις Κρατῖνος Bergk, quo dramate commemorantur et Cercopes fr. 12. vulgatum tuetur Crusius Philol. 1895. 711.
I. v. 3 φίλης frag. Berol.
II. 2 πάσης . . . τέχνης om. Aristoteles, Eustratius, Heliodorus, add. Clemens.

Clemens Alex. Strom. i. 4. 1 Ὅμηρος δὲ καὶ τέκτονα σοφὸν ⟨cf. f. 150⟩ καλεῖ καὶ περὶ τοῦ Μαργίτου εἰ δὴ αὐτοῦ ὧδέ πως γράφει· [eadem].

III. Plato Alcib. ii. 147 B ΣΩ. . . . ὥστε ξυμβαίνειν μοι δοκεῖ καὶ ἐνταῦθα τὸ τοῦ ποιητοῦ, ὅ λέγει κατηγορῶν πού τινος, ὡς ἄρα πολλὰ μὲν ἠπίστατο ἔργα, κακῶς δέ φησιν ἠπίστατο πάντα. ΑΛ. καὶ τί δή ποτε ξυμβαίνει τὸ τοῦ ποιητοῦ, ὦ Σώκρατες; ἐμοὶ μὲν γὰρ οὐδ' ὁτιοῦν δοκεῖ πρὸς λόγον εἰρηκέναι. ΣΩ. καὶ μάλα γε πρὸς λόγον· ἀλλ' αἰνίττεται ὦ βέλτιστε καὶ οὗτος καὶ οἱ ἄλλοι δὲ ποιηταὶ σχεδόν τι πάντες. . . . οὐ γὰρ δήπου Ὅμηρόν γε τὸν θειότατόν τε καὶ σοφώτατον ποιητὴν ἀγνοεῖν δοκεῖς ὡς οὐχ οἷόν τε ἦν ἐπίστασθαι κακῶς. ἐκεῖνος γάρ ἐστιν ὁ λέγων τὸν Μαργίτην πολλὰ μὲν ἐπίστασθαι, κακῶς δέ φησι πάντα ἠπίστατο. ἀλλ' αἰνίττεται οἶμαι παράγων τὸ κακῶς μὲν ἀντὶ τοῦ κακοῦ, τὸ δὲ ἠπίστατο ἀντὶ τοῦ ἐπίστασθαι. γίγνεται οὖν συντεθὲν ἔξω μὲν τοῦ μέτρου, ἔστι δὲ ὅ γε βούλεται, ὡς πολλὰ μὲν ἠπίστατο ἔργα, κακὸν δὲ ἦν ἐπίστασθαι αὐτῷ πάντα ταῦτα.

IV. Tzetzes Chiliad. iv. 867

ἔχεις μοι καὶ τὸν Κόροιβον, ἄκουε τὸν Μαργίτην,
εἰς ὃν ὁ γέρων Ὅμηρος ἡρωιάμβους γράφει·
οὗτος ὢν γέρων νουνεχής, αὐτόχρημα νοῦς, φρένες,
ἐξανηρώτα τίς αὐτὸν ἐγκυμονήσας βρέφος
ἐκ τῆς γαστρὸς ἐγέννησεν, ἆρ' ὁ πατὴρ ἢ μήτηρ.

vi. 592

ἐν τῷ δευτέρῳ πίνακι τετάρτην ἱστορίαν
τὸ νῦν Μαργίτην εὕρῃς μοι· ἐπιγραφὴν δὲ φέρει
τοῦ Μελιτίδου πέρι τε καὶ μωραινόντων ἄλλων.
οὗτος πανφρονιμώτατος ὢν γέρων ὁ Μαργίτης
ἐξανηρώτα τίς αὐτὸν ἐγκυμονήσας βρέφος
ἐκ τῆς γαστρὸς ἐγέννησεν, ἆρ' ὁ πατὴρ ἢ μήτηρ.
Ὅμηρος βίβλον ἔγραψεν εἰς τοῦτον τὸν Μαργίτην.

Nicephorus Blemmides ὁποῖον δεῖ εἶναι τὸν βασιλέα c. xi (Mai Scriptt. vett. nova collectio ii. 641) . . . μὴ παραπλησίους δὲ Κοροίβῳ, Μαργίτῃ τε καὶ τῷ Μελιτίδῃ. ὧν ὁ μὲν . . . ὁ δὲ διαπορῶν ἠρώτα ὁπότερος τῶν γονέων αὐτὸν ἐγέννησεν· ὁ δ' ἕτερος οὐκ ἠθέλησε συμμιγῆναι τῇ αὐτοῦ γυναικί, οὐ παρθενίαν τιμῶν οὐδὲ ἁγνεύειν βουλόμενος ἀλλὰ λέγων φοβεῖσθαι μή ποτε κόλασιν εὕρῃ παρὰ τῆς πενθερᾶς αὐτοῦ χάριν τῆς συνουσίας.

Dio Prus. 67. 4 εἰ οὖν τις εἴη τοιοῦτος ἄνθρωπος οἷος ζῆν πρὸς τὴν αὑτοῦ σκιὰν . . . πολύ γε ἂν εἴη τοῦ Μαργίτου σοφώτερος ἀγνοοῦντος ὅτι χρὴ γήμαντα χρῆσθαι τῇ γυναικί.

Suidas in v. Μαργίτης· ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδούμενος, ὅν φασιν ἀριθμῆσαι μὲν μὴ πλείω τῶν ε′ δυνηθῆναι· νύμφην δὲ ἀγόμενον μὴ ἅψασθαι αὐτῆς ἀλλὰ φοβεῖσθαι, λέγοντα μὴ τῇ μητρὶ αὐτὸν διαβάλῃ· ἀγνοεῖν δὲ νεανίαν ἤδη γεγενημένον καὶ πυνθάνεσθαι τῆς μητρὸς εἴ γε ἀπὸ τοῦ αὐτοῦ πατρὸς ἐτέχθη.

Hesychius, Μαργε[ί]της· μωρός τις, ἢ μὴ εἰδὼς μίξιν γυναικός, κἂν γυνὴ προτρέπηται αὐτόν. adde et Μαργίτης· μωρός τις, μαινόμενος, et Μαργίτου· ἄφρονος μωροῦ.

Eustathius 1669. 41 σημειῶσαι δὲ ὅτι ὡς καὶ ἐν Ἰλιάδι ἐδηλώθη ἐπὶ Θερσίτου, καὶ ἀφελῆ τινα πρόσωπα καὶ οὐ πάνυ σπουδαῖα εἰς Τροίαν ἐστρατεύσατο. οἷος δή τις καὶ ὁ Ἐλπήνωρ ἐνταῦθα ⟨κ 552⟩ . . . πολυμαθείας δὲ χάριν οἱ παλαιοὶ καὶ τοιαῦτα παρενείρουσιν οἷς γράφουσιν ἵνα καὶ τοιούτων εὐπορία τις γένοιτο τοῖς ἱστορεῖν ἐθέλουσιν. . . . οὕτως ἔγνωμεν καὶ τὸν ἄφρονα Μαργίτην τὸν ἀπὸ τοῦ μαργαίνειν ὅ ἐστι μωραίνειν, ὃν ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ὁμήρου Μαργίτην ὑποτίθεται εὐπόρων μὲν εἰς ὑπερβολὴν γονέων φῦναι, γήμαντα δὲ μὴ συμπεσεῖν τῇ νύμφῃ ἕως ἀναπεισθεῖσα ἐκείνη ⟨ὑπὸ τῆς μητρὸς Knaack Rh. Mus. 1904. 315⟩ τετραυματίσθαι τὰ κάτω ἐσκήψατο,

φάρμακόν τε μηδὲν ὠφελήσειν ἔφη πλὴν εἰ τὸ ἀνδρεῖον αἰδοῖον ἐκεῖ ἐφαρμοσθείη. καὶ οὕτω θεραπείας χάριν ἐκεῖνος ἐπλησίασεν.

V. Zenobius v. 68 (Leutsch Paroem. gr. i. 147)

πόλλ' οἶδ' ἀλώπηξ ἀλλ' ἐχῖνος ἓν μέγα

μέμνηται ταύτης Ἀρχίλοχος ἐν ἐπῳδῇ ⟨fr. 118⟩· γράφει δὲ καὶ Ὅμηρος τὸν στίχον. huc rettulit Bergk.

Plut. de soll. anim. 16 τῶν δὲ χερσαίων ἐχίνων ἡ μὲν ὑπὲρ αὐτῶν ἄμυνα καὶ φυλακὴ παροιμίαν πεποίηκε [eadem].

versus exstat et apud Photium lex., Suid. in Πόλλ', schol. Ar. Eq. 1068.

VI. Theodorus Metochita, Miscellanea, ed. Müller-Kiessling 1821 f. 510 c. 76 καὶ ξυμβαίνει πολλάκις δυσπραγήματα, καὶ βιωτέον ἂν εἴη εἰ καὶ ὅλως εἴη κατὰ τὸν Ὁμήρου Μαργίτην μηδὲν πονοῦντα μηδενὸς ἐπαΐοντα.

## CERCOPES

*Testimonium*

vit. Suid. 90.

I. Harpocration Κέρκωψ· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας ⟨40⟩. ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις Κέρκωψιν δηλοῦται ὡς ἐξαπατητῆρές τε ἦσαν καὶ ψεῦσται οἱ Κέρκωπες. Ξεναγόρας δὲ ⟨F. H. G. iv. 528⟩ εἰς πιθήκους αὐτοὺς μεταβαλεῖν φησί, καὶ τὰς Πιθηκούσσας νήσους ἀπ' αὐτῶν κληθῆναι. Αἰσχίνης δὲ ὁ Σαρδιανὸς ἐν τοῖς ἰάμβοις ⟨P. L. G. ii. 517 Αἰσχρίων Maussac⟩ καὶ τὰ ὀνόματα αὐτῶν ἀναγράφει, Ἀνδοῦλον (Κάνδουλος Suid.) καὶ Ἄτλαντον (Ἄτλος Suid.). vide Phot. in vv.

Suidas Κέρκωπες· δύο ἀδελφοὶ ἦσαν ἐπὶ γῆς, πᾶσαν ἀδικίαν ἐπιδεικνύμενοι, καὶ ἐλέγοντο Κέρκωπες, ἐκ τῆς τῶν ἔργων δεινότητος οὕτως ἐπονομαζόμενοι. ὁ μὲν γὰρ αὐτῶν

VI attulit O. Immisch *Philol.* 1905. 633

Πάσσαλος ἐλέγετο, ὁ δὲ Ἄκμων, ἡ δὲ μήτηρ Μεμνονὶς ταῦτα ὁρῶσα ἔλεγε μὴ περιτυχεῖν μελαμπύγῳ τουτέστι τῷ Ἡρακλεῖ. [cetera ex Harpocr.] οὗτοι οἱ Κέρκωπες Θείας καὶ Ὠκεανοῦ. οὓς φασιν ἀπολιθωθῆναι διὰ τὸ ἐγχειρεῖν ἀπατῆσαι τὸν Δία. ἡ δὲ παροιμία κερκωπίζειν, ἣν ὁ Χρύσιππος ⟨fr. 8 p. 202 Arn.⟩ ἀπὸ τῶν σαινόντων τῇ κέρκῳ ζῴων φησὶ μετενηνέχθαι.

Κέρκωπες· πανοῦργοι, δόλιοι, ἀπατεῶνες, κόλακες οἳ καθάπερ ἡ ἀλώπηξ τοὺς θηρατικοὺς κύνας ἀπατᾷ τοὺς ἁπλουστέρους φενακίζουσι τῇ κέρκῳ τῶν λόγων. φασὶ δὲ τοὺς Κέρκωπας γενέσθαι

ψεύστας, ἠπεροπῆας, ἀμήχανά τ' ἔργ' ἐάσαντας
ἐξαπατητῆρας· πολλὴν δ' ἐπὶ γαῖαν ἰόντες
ἀνθρώπους ἀπάτασκον, ἀλώμενοι ἤματα πάντα. 3

cf. Diotimus 2 (E. G. F. p. 213)

Κέρκωπες τοὶ πολλὰ κατὰ τρίποδας πατέοντες
Βοιωτῶν σίνοντο· γένος δ' ἔσαν Οἰχαλιῆες
Ὦλός τ' Εὐρύβατός τε δύω βαρυδαίμονες ἄνδρες.

## EPICICHLIDES

Athen. epit. 65 A ὅτι τὸ εἰς Ὅμηρον ἀναφερόμενον ἐπύλλιον, ἐπιγραφόμενον δὲ Ἐπικιχλίδες, ἔτυχε ταύτης τῆς προσηγορίας διὰ τὸ τὸν Ὅμηρον ᾄδοντα αὐτὸ τοῖς παισὶ κίχλας δῶρον λαμβάνειν. ἱστορεῖ Μέναιχμος ἐν τῷ περὶ τεχνιτῶν ⟨scrr. rer. Alex. magn. 146 fr. 8⟩.

ib. 639 A Κλέαρχος δὲ ἐν δευτέρῳ Ἐρωτικῶν ⟨F. H. G. ii. 316⟩ τὰ ἐρωτικά φησιν ᾄσματα καὶ τὰ Λοκρικὰ καλούμενα οὐδὲν τῶν Σαπφοῦς καὶ Ἀνακρέοντος διαφέρειν. ἔτι δὲ τὰ Ἀρχιλόχου καὶ τῶν Ὁμήρου Ἐπικιχλίδων τὰ πολλὰ διὰ τῆς ἐμμέτρου ποιήσεως τούτων ἔχεταί τινος τῶν παθῶν, ἀλλὰ καὶ τὰ Ἀσωποδώρου περὶ τὸν Ἔρωτα καὶ πᾶν τὸ τῶν

I. 1 ἐάσαντας difficile

ἐρωτικῶν ἐπιστολῶν γένος ἐρωτικῆς τινος διὰ λόγου ποιήσεως ἐστίν.[1]

## BATRACHOMYOMACHIA

Murium ranarumque proelium qui edit pendeat necesse est ab Arthuri Ludwich curis egregiis,[2] quas nescio an magis mireris ob codicum ingens agmen familiis tamquam Menestheos arte dispositum, an ob doctrinae puteos unde pusillum poemation inrigaverit vir doctissimus. mihi ut qui in arto laborem illud maxime agendum erat ut copias illas amplissimas pro huiusce libelli modulo contraherem. plurima utique praeterii. ex quibus dubito tamen num omnia quae utilia sint receperim, nam nunquam ita miserum poema tanta lectionum multitudine obrutum est. copias ergo Ludwichianas licet cum pudore expilavi; si autem notationem qua familias codicesque insigniverat Ludwichius commutavi, veniam eo confidentius spero virum egregium concessurum esse quod ipse quodam modo viam ostentavit;[3] monendum autem est quotiens familiam per characterem citaverim ubi non omnes istius codices consentirent illud significatum esse addito deminutionis signo (–).

Augere supellectilem Ludwichianam non sum conatus, cum existimarem si non omnino rem magna ex parte ad finem perductam esse. attamen data occasione denuo contuli municipem meum Baroccianum 50, neque Scorialensem vetustiorem

[1] vixit Menaechmus Diadochorum aetate teste Suida in v., Clearchus Aristotelis fuit discipulus. cf. vit. Herod. c. 24, Suid. 45, 103.

[2] *Die Homerische Batrachomachie des karers Pigres nebst Scholien und Paraphrase*, 1896.

[3] Praef. p. 40 'einen Augenblick ging ich sogar mit dem kühnen Gedanken um, überhaupt auf eine neue und durchgreifende rationellere Bezeichnung der Codices Bedacht zu nehmen: aber die Gefahren, die aus einem solchen Umschreiben der Siglen für die Zuverlässigkeit der recht zahlreichen Collationen erwuchsen, schreckten mich wieder ab, um so mehr als der schliesslich zu erhoffende Nutzen gewiss in keinem richtigen Verhältnisse zur Grösse der Arbeit gestanden hätte'.

non perlegi: Holkhamicos duo abhinc ducentis annis a Michaele Maittaire adhibitos adnuente qua est humanitate Comite de Leicester examinavi: porro ne omnino nihil novi conferam manu duco unicum agnellum meum Scorialensem iuniorem ($S^1$), qui cuinam ovili sit adnumerandus dubito, adeo ambiguus est; a stirpe tamen *c f* proxime videtur abesse. v. p. 166.

Hucusque editoris Batrachomyomachiae munus ut taedii plenum est ita diligentiam in primis postulat: qui vero formam poematis pristinam conatur eruere, vel qui id solum sibi proponit ut versus Graece scriptos typographis tradat, is ungues oportet diu demordeat. equidem perlectis Ludwichii prolegomenis, quibus in universum adsentio, satis duxi in re prosodica niti: etenim ubi de Homeri imitatione agitur et comica et puerili, paene omnis aetatis Graeci vocabula epica eligere et componere calluerunt: neque quod sciam superest recentioris poesis epicae vel seriae vel parodicae satis ut sermonem stilumve Panyasis vel Pigretis a recentioribus antiquis secernamus. Constantinopolitani autem ludorum magistri ut sciverint vocabula Homerica usurpare ita se produnt quotiens in numeros veterum ea cogant: exemplo sunt viri illi docti qui periochas sive metrica argumenta singularum Homeri rhapsodiarum dictitaverunt. periochis simillimi exstant in omnibus Batrachomyomachiae codicibus versus. hos ut a Musa Byzantina profectos seclusi, Ludwichium non hic secutus, qui magnis viribus haec monstra pluriens perpolit atque dedolat. satius ego duxi grammatistarum fetibus leporem patrium relinquere. familias ipsas optime distinguit Ludwich, neque meum foret insectari eius iudicium qui membranas pulcherrimas Bodleianas tam impense extulerit: tamen nonnumquam auxilium petii ab illo tam despecto Laurentiano xxxii. 3, cum ut ipse Ludwich dicit traditio omnis Batrachomyomachiae pessima sit.

# BATRACHOMYOMACHIA

## *Testimonia*

1. Plutarchus de Herodoti malignitate:

c. 43. 873 F *τέλος δέ, καθημένους ἐν Πλαταιαῖς ἀγνοῆσαι [φησι] μέχρι τέλους τὸν ἀγῶνα τοὺς Ἕλληνας, ὥσπερ βατραχομυομαχίας γινομένης, ἣν Πίγρης ὁ Ἀρτεμισίας ἐν ἔπεσι παίζων καὶ φλυαρῶν ἔγραψε, σιωπῇ διαγωνίσασθαι συνθεμένων, ἵνα λάθωσι τοὺς ἄλλους.*

2. idem vit. Agesilai 15. 604 *ὅπου γὰρ Ἀννίβας ἤδη κακῶς πράττων καὶ περιωθούμενος ἐκ τῆς Ἰταλίας μάλα μόλις ὑπήκουσε τοῖς ἐπὶ τὸν οἴκοι πόλεμον καλοῦσιν, Ἀλέξανδρος δὲ καὶ προσέσκωψε πυθόμενος τὴν πρὸς Ἆγιν Ἀντιπάτρου μάχην εἰπὼν ἔοικεν, ὦ ἄνδρες, ὅτε Δαρεῖον ἡμεῖς ἐνικῶμεν ἐνταῦθα ἐκεῖ τις ἐν Ἀρκαδίᾳ γεγονέναι μυομαχία, πῶς οὐκ ἦν ἄξιον τὴν Σπάρτην μακαρίσαι τῆς Ἀγησιλάου τιμῆς πρὸς ταύτην καὶ πρὸς τοὺς νόμους τῆς εὐλαβείας;*

3. Suidas: *Πίγρης, Κὰρ ἀπὸ Ἁλικαρνασοῦ, ἀδελφὸς Ἀρτεμισίας τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλου γυναικός· ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγεῖον, οὕτω γράψας·*

*μῆνιν ἀειδὲ θεὰ Πηληιάδεω Ἀχιλῆος*
*Μοῦσα σὺ γὰρ πάσης πείρατ᾽ ἔχεις σοφίης.*

*ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην καὶ Βατραχομυομαχίαν.*

4. Martialis xiv. 183 *Homeri Batrachomachia*

*Perlege Maeonio cantatas carmine ranas*
*et frontem nugis solvere disce meis.*

5. Statius Silv. i *ad Stellam: . . . sed et Culicem legimus et Batrachomachiam etiam agnoscimus nec quisquam est*

1. 3 *ἐν ἔπεσι*] *ἐνέπαισε* 'E': *ἐνέπεσε* 'B'
3. 5 *οὐλομένην* add. 'A B Med.' 7 *μαργαρίτην* codd. 'B Y E' de nomine *Πίγρης* consulendus Kretschmer *Einleitung in die Geschichte der griechischen Sprache*, p. 295 sq.

*illustrium poetarum qui non aliquid operibus suis stilo remissiore praeluserit.*

6. Fulgentius Mythologiarum lib. I

*quod cecinit pastorali*
*Maro silva Mantuae,*
*quod Maeonius ranarum*
*cacchinavit proelio.*

Homero Batrachomyomachiam adscribi testantur vit. Herod. 24, Plut. i. 96, Proculus 62, vit. v. 20, 21, Tzetzes Exeg. Il. 37. 2, Suid. 39, 91. abiudicat Plutarchus vit. 93 ἔγραψε δὲ ποιήματα δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν· ὡς δέ τινες οὐκ ἀληθῶς λέγοντες γυμνασίας καὶ παιδιᾶς ἕνεκα καὶ Βατραχομυομαχίας καὶ Μαργίτην. In Homeri Apotheosi, marmore celeberrimo hodie in Museo Britannico adservato, ad pedes Homeri diu creditum est et murem et ranam adspici, alterum ad alteram libelli finem: cf. A. H. Smith, *Catalogue of Sculpture in the British Museum*, iii. 244 sqq., Hiller von Gaertringen, *Priene*, inscr. n. 573 al. hodie ut mus quodam modo appareat ita ranam omnino evanuisse affirmavit nobis G. F. Hill. inscriptiones vide C. Ital. et Sicil. 1295. saeculo et Philopatoris et imperii romani prioris adscribunt viri docti. codicum descriptiones dedimus Ludwichio plerumque auctore, supplentibus nonnulla recentioribus catalogis. Ludwichianam notam reddunt characteres italici.

*Codices*

1. A¹ (*Mᵐ*) Ambros. 89 B 39 sup. chart. s. xv, mm. 207 × 148, ff. 207. miscell. in quibus f. 3 catalogus navium, 13 v. Batrach. vv. 1–263, 139–182 Iliadis A B Γ. [nobis in Iliade M².]

2. A² (*Mᵍ*) Ambr. 92 B 52 sup. chart. mm. 205 × 145, ff. 116, s. xvi. misc. 46 v. Batr., 58 v. Musaei Hero et Leander, 72 v. Euripidis Hecuba.

3. A³ (*Mᵖ*) Ambr. 120 B 98 sup. membr. mm. 251 × 178, ff. 227, s. xv. f. 1–126 Apoll. Rhod. Argonautica, 127–132 r. Batr., 145 Orphei Argonautica, 178 v. Hymni Homerici, 209 Hymni Callimachei. [nobis in Hymnis D.]

4. A⁴ (*B*) Ambr. 295 E 81 sup. chart. mm. 220 × 142, ff. 318, s. xiv–xv. miscell. grammatica et rhetorica: f. 252 v. Batr.

5. A⁵ (*Mʳ*) Ambr. 337 F 40 sup. chart. mm. 205 × 145, ff. 208, s. xvi. f. 3 Batr., f. 19 Aristoph. comoed. IV.

6. A⁶ (*U*) Ambr. 426 H 22 sup. chart. mm. 212 × 148, ff. 370, s. xv. misc. f. 52 Theocriti idyll. nonnulla, 84 Hesiodi Scutum, 96 Apollonii Arg. I, II, 148 Batr., 163 v. Iliados A B Γ, 227 v. epigrammata.

7. A⁷ (*J*) Ambr. 450 I 4 sup. chart. mm. 175 × 122, ff. 232, a. 1276. Homeri Ilias: 227 v. Batr. [nobis in Iliade M⁷.]

8. A⁸ (*Mˢ*) Ambr. 486 L 73 sup. chart. mm. 260 × 170, ff. 268, s. xiii. Homeri Ilias: 264 v. Batr. 1–255. [nobis in Iliade M¹⁰.]

9. A⁹ (*Mᶜ*) Ambr. 844 C 7 inf. membr. mm. 239 × 172, ff. 40, s. xv. f. 1 Hesiodi Opera et Dies, 21 v. Batr., 29 v. Theocriti idyll. nonnulla.

10. $B^1$ (*f*) Vratislaviensis 29. membr. mm. 350 × 255, ff. 177, s. xv. f. 3 Batr., 6 Homeri Iliados A–Z 356, 51 Odyssea. [nobis in Iliade $W^5$.]

11. $B^2$ ($B^g$) Vratislaviensis 30. chart. mm. 213 × 145, ff. 241, s. xiv–xv. f. 17 Batr., 26 Euripidis Hecuba Orestes Phoen., 160 Pindari Ol., 211 Hesiodi Opera.

12. $Bm^1$ ($\Lambda^a$) Harleianus 5601. chart. mm. 328 × 210, ff. 281, s. xv. Homeri Ilias: f. 1–6 v. Batr. [nobis in Iliade $Bm^7$.]

13. $Bm^2$ ($\Lambda^b$) Harleianus 5664. chart. mm. 222 × 165, ff. 14, s. xv.

14. $Bm^3$ ($\Lambda^c$) Harleianus 5693. chart. mm. 303 × 215, ff. 303, s. xiv–xv. Homeri Ilias: ff. 13–18 Batr. [nobis in Iliade $Bm^2$.]

15. $Bm^4$ ($\Lambda^e$) Harleianus 6301. chart. mm. 215 × 157, ff. 17, s. xv.

16. $Bm^5$ ($\Lambda^d$) Burneianus 276. chart. mm. 197 × 147, ff. 4, s. xv. Batr. 35–152.

17. C (*K*) Casanatensis 306 G iv. 16. chart. mm. 204 × 142, ff. 238, a. 1413. f. 9 Hesiodi Opera, 65 Oppianus, 185 Theocritus, 228 Batr.

18. E ($E^m$) Estensis 63 iii B 11. chart. mm. 213 × 145, ff. 234, s. xv–xvi. misc. f. 3 Dionys. perieg., Hes. Opera, Theognidis 1–1220, 213 Batr.

19. $H^1$ (*y*) Holkhamicus 263. membr. mm. 285 × 195, ff. 469, s. xv. cf. p. 188. f. 2–10 Batr., 16 r. Ilias.

20. $H^2$ (*b*) Holkhamicus 264. chart. mm. 215 × 145, ff. 188, s. xiv. ff. 1–8 prolegomena, 9 r. Iliados A–M, 182–188 Batr. f. 181 r. *μηνὶ μαίω ι̅θ̅ ἐν ἔτει ϛ̿ ω̅ ν́ δ́ Ν̊ ἴδ κατέπεσε | ὁ θεῖος καὶ ὀ̅υ̅ν̅ι̅ο̅σ̅ ναὸσ τῆς ἁγίασ καὶ μεγάλης | τοῦ θ̅υ̅ ἐκκλησίας* (ss. *καθολικῆς*) *τῆς ἐπονομαζομένης τοῦ | θ̅υ̅ σοφίας, τὸ καύχημα πάσης τῆς οἰκουμένης*: sub quibus *μηνὶ ἀπρι* (ss. *λλ'*) *δευτέρα*. f. 181 v. *ποῦ ἢ* (in *ει* corr.) *ἄν̅ε̅ ὁ γράψας ταύτην τὴν βίβλον* vidit hunc codicem Bernardus de Montfaucon Romae in aedibus Leonis Strozzi, *Diar. Ital.* 248. f. 1 r. inscriptio litterarum uncialium sedulo erasa: ad finem in schedula *Bernardi Canisiani Alberti filii καὶ τῶν φίλων n⁰* 42.

21. J (*o*) Jenensis. chart. s. xv.

22. $L^1$ (*N*) Laurentianus xxxi. 20. chart. m. 4, ff. 65, s. xv. Hesiodi Theog. Scut., Phocyl., Theogn., f. 57 v. Batr.

23. $L^2$ (*O*) Laur. xxxii. 1. chart. mm. 380 × 265, ff. 630, s. xv. Homeri Ilias: ff. 1–13 Batr. [nobis in Iliade $L^2$.]

24. $L^3$ (*L*) Laur. xxxii. 3. membr. mm. 292 × 240, ff. 424, s. xi. Homeri Ilias: f. 419–424 Batr. [nobis in Iliade C.]

25. $L^4$ ($F^h$) Laur. xxxii. 4. chart. mm. 405 × 227, ff. 476, s. xv. Homeri Ilias et Odyssea: ff. 446 Batr., 450 v. Hymni. [nobis in Iliade $L^3$.]

26. $L^5$ ($F^r$) Laur. xxxii. 6. membr. mm. 327 × 202, ff. 402, a. 1465. Homeri Ilias et Odyssea: ff. 397 Batr.

27. $L^6$ (*P*) Laur. xxxii. 22. chart. mm. 302 × 227, ff. 238, a. 1459. Homeri Ilias: f. 234 Batr. [nobis in Iliade $L^{10}$.]

28. $L^7$ ($F^i$) Laur. xxxii. 50. membr. in 12, ff. 17, s. xvi. f. 1 Batr., 11 Pyth. carm. aurea, 13 epigrammata.

29. $L^8$ (*Q*) Laur. lix. 2. membr. in fol. maximo, ff. 203, s. xiv. Eustathii in Iliadis A–I, f. 202 v. Batr.

30. $L^9$ ($F^s$) Laur. Appendix 5 (Redianus 15). chart. mm. 211 × 155, ff. 205, s. xv. miscell. f. 181 Batr. cf. *Stud. Ital.* i, p. 219.

31. Li (*g*) Lipsiensis 1275. v. p. 188.

32. $M^1$ (*l*) Monacensis 111. chart. mm. 340 × 235, s. xv. f. 1–5 v. Batr., 11 v. Ilias. v. p. 188.

33. $M^2$ (*s*) Monacensis 519 B. bomb. mm. 245 × 160, ff. 253, s. xiv. f. 1 Odyssea, 250–253 Batr. 1–161. [nobis in Odyssea Mon.]

34. N (*D*) Neapolitanus iii E 37. membr. mm. 272 × 190, ff. 165, s. xiii. Iliadis N–Ω : f. 162 v. Batr. [nobis in Iliade $N^1$.]

35. $O^1$ ($O^a$) Baroccianus 46. chart. mm. 202 × 155, ff. 217, s. xv. Pind., Hes., f. 180 Batr.

36. $O^2$ (*Z*) Baroccianus 50. membr. mm. 202 × 148, s. x–xi. misc. f. 358 Batr.

37. $O^3$ ($O^g$) Baroccianus 64. chart. mm. 208 × 150, ff. 99, s. xv. misc. f. 1 Batr.

38. $P^1$ ($\Pi^a$) Parisiensis 1310. chart. in oct., ff. 344. miscell. f. 392 Batr.

39. $P^2$ ($\Pi^h$) Parisiensis 2008. chart. in oct., ff. 168, s. xvi. miscell. f. 5 Phocylides, 15 Theognis, 91 Batr.

40. $P^3$ ($\Pi^a$) Parisiensis 2571. chart. in oct., ff. 172, s. xv. miscell. f. 128 Batr.

41. $P^4$ ($\Pi^u$) Parisiensis 2707. bomb. in oct., ff. 112, a. 1301. Hesiodi Opera, f. 37 Batr., 39 Tzetzes allegoriae hom.

42. $P^5$ (*t*) Parisiensis 2723. membr. in fol., ff. 245, a. 1282. Lycophr. Cassandra, f. 77 Batr., 79 Oppianus, 98 Dionys. periegesis, al. philosophica.

43. $P^6$ ($\Pi^b$) Parisiensis 2802. bomb. in oct., ff. 164, s. xv–xvi. Euripidis Hecuba Orestes Phoenissae, Theocriti idyllia xiv, f. 156 Batr.

44. $P^7$ ($\Pi^o$) Parisiensis 2853. chart. in fol., ff. 138, s. xvi. Dionysii perieg., f. 66 Batr.

45. $P^8$ ($\Pi^q$) Parisiensis suppl. 663. membr. in oct., ff. 77, s. xi. f. 1 Batr., f. 5 sqq. Iliadis epitomes et Hesiodi Theog. et Scut. fragmenta.

46. $P^9$ (Π) Parisiensis suppl. 690. membr. in oct., ff. 258, s. xii. miscell. Byzantina, f. 245 Batr.

47. $P^{10}$ ($\Pi^y$) Parisiensis suppl. 1095. chart. mm 330 × 225, ff. 280, s. xv. f. 25 Homeri Ilias, 225 hymni, 245 Callimachi hymni, 258 Orphei hymni, 274 Procli hymni, 276 v. Batr. [nobis in Iliade $P^{21}$.]

48. Pal. (*Y*) Palatinus (Heidelberg.) 45. membr. mm. 222 × 160, ff. 234, a. 1201, 1202. f. 1–224 Odyssea, 225–9 Batr. [nobis in Odyssea Pal.]

49. Pe (*p*) Perusinus E 48. chart. mm. 290 × 202, ff. 359. f. 1 7 Batr., 15 Ilias. [nobis in Iliade Pe.]

50. $R^1$ (*R*) Riccardianus 213. membr. mm. 180 × 140, ff. 64, s. xv. f. 1–54 v. Plutarchi regum apophthegmata, 57–64 v. Batr.

51. $R^2$ (*S*) Riccardianus 3020 (3195). chart. mm. 198 × 140, ff. 85, a. 1494. f. 1 Batr., 6 v. Homeri hymni ix, xii, xiii, 7 misc. gramm.

52. $S^1$ Scorialensis 471 Ψ iv. 1. chart. mm. 195 × 145, ff. 444, s. xvi. miscell. : ff. 346–358 Batr. (s. xv).[1]

[1] Locos ubi cum familia unaquaque consentit $S^1$ haec indicat tabella : a 8 b 16 c 28 d 12 e 16 f 31 h 3 i 4 j 4 k 7 l 5. cum singulis codicibus haec communia habet : $A^2$ *εὑρόντες* 116, $A^7$ *ἔπλασσ'* 74, $P^8$ *π'ἀρ* 154, $P^{10}$ *ἀθήνην* 173, $U^5$ titulum, ed. pr. (Leonici) om. 120, om. *ἐγὼ* 178, *δὴ πήτης* 184 : corrector codicis $U^5$ usus est $S^1$ 12, 173, 174, 232, 277.

53. $S^2$ (Ω) Scorialensis 509 Ω i. 12. membr. mm. 350 × 250, ff. 216, s. xi. Ilias : f. 5 r.–6 v. Batr.

54. $U^1$ ($N^h$) Ven. 456. membr. mm. 380 × 252, ff. 541, s. xv. Ilias, Quint. Smyrn., Odyssea, Hymni : f. 534 r.–538 r. Batr. [nobis in Iliade $U^3$, in Odyssea $U^1$.]

55. $U^2$ (*M*) Ven. 613. bomb. mm. 270 × 185, ff. 296, s. xiii. f. 4–7 Batr., 9 sqq. Odyssea. [nobis in Odyssea $U^5$.]

56. $U^3$ ($N^x$) Ven. ix. 14. s. xiv. ff. 151–158 Batr. 1–187.

57. $U^4$ ($N^t$) Ven. xi. 16. s. xv. ff. 83–92 v. Batr.

58. $U^5$ ($N^3$) Ven. xi. 32. s. xvi–xvii.

59. $V^1$ (*C*) Vaticanus 41. bomb., s. xiii. Batr. 1–31.

60. $V^2$ ($P^t$) Vaticanus 43. chart., s. xv. ff. 105 r.–114 v. Batr. 1–251.

61. $V^3$ (*F*) Vaticanus 915. bomb. mm. 260 × 165, ff. 258, s. xiii. miscell. f. 47 v. Ilias, 142 r. Odyssea, 217 et 249 Batr. [nobis in Iliade $V^{11}$.]

62. $V^4$ (*V*) Vaticanus 1314. chart., a. 1449. Batr. miscell. philosoph.

63. $V^5$ (*E*) Vaticanus 1363. chart., s. xv.

64. $V^6$ ($P^3$) Vaticanus 2222. s. xiv–xv. ff. 12 r.–21 v. Batr.

65. $V^7$ ($P^o$) Ottobonianus 150. chart. mm. 226 × 167, ff. 174, s. xvi. misc. Byzantina : f. 110 Batr.

66. $V^8$ ($P^p$) Palatinus 7. chart mm. 275 × 195, ff. 200, a. 1436. f. 1 Batr., 4 Odyssea. [nobis in Odyssea $R^8$.]

67. $V^9$ ($P^r$) Palatinus 150.[1] chart. in 8, ff. 186, s. xvi. f. 1 Batr., 9 Iliadis Α–Ζ 1–357. [nobis in Iliade $V^{21}$.]

68. $V^{10}$ ($P^u$) Palatinus 151. chart. in 8. ff. 322, s. xv. f. 1 Euripidis Hecuba Orestes Phoenissae, Sophoclis Ajax Electra, Hesiodi Opera, Aeschyli Persae, f. 314 Batr.

69. $V^{11}$ ($P^x$) Palatinus 181. membr. mm. 270 × 175, ff. 207, s. xv. Odyssea : f. 202 Batr. [nobis in Odyssea $R^9$.]

70. $V^{12}$ ($P^q$) Palatinus 363. chart., ff. 414, s. xv. miscell., f. 310 Batr.

71. $Vi^1$ ($V^e$) Vindobonensis 241. chart. in 4°, ff. 286, a. 1446 Oppianus, Iliados Α–Δ : ff. 83–95 Batr.

72. $Vi^2$ ($V^n$) Vindobonensis 289. chart. in 4°, ff. 166, s. xvi. Aristophanes, &c., ff. 179–185 Batr.

73. $Vi^3$ ($V^a$) Vindobonensis 293. chart. in 4°, ff. 44, s. xv.

*Familiae*

**a** = $A^2$ $O^2$ $P^5$ $P^8$ $P^9$ Pal. (*Oxf.*)
**b** = $A^1$ $A^3$ $A^4$ $A^6$ $P^6$ (*Par.*$^2$)
**c** = $A^7$ $B^2$ $Bm^5$ $P^3$ $P^{10}$ $U^4$ $V^4$ $V^6$ $V^{10}$ (*Röm.*)
**d** = $H^2$ $R^1$ (*Holkh.*)
**e** = $L^9$ Li $V^5$ $V^9$ $V^{12}$ $Vi^1$ (*Leipz.*)
**f** = $A^5$ E $L^5$ $L^6$ $P^2$ $U^3$ (*Ven.*$^2$).
**g** = $A^{10}$ $B^1$ $Bm^2$ $Bm^4$ $O^1$ $O^3$ $P^7$ $V^2$ $Vi^3$ (*Mail.*)
**h** = $A^9$ C $M^2$ N $U^2$ $V^1$ $V^8$ (*Ven.*$^1$)
**i** = J $L^1$ $L^7$ $P^1$ $P^4$ $V^{10}$ (*Par.*$^1$)
**j** = $R^2$ $U^5$ $V^7$ (*Vulg.*)
**k** = $Bm^1$ $Bm^3$ $H^1$ $L^2$ $L^8$ $M^1$ Pe $S^2$ $U^1$ $Vi^2$ (*Span.*)
**l** = $A^8$ $L^3$ $L^4$ $V^3$ $V^{11}$ (*Flor.*)

[1] 49 Ludwichius errore ut videtur.

# ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

Ἀρχόμενος πρώτης σελίδος χορὸν ἐξ Ἑλικῶνος
ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,
ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα,
δῆριν ἀπειρεσίην, πολεμόκλονον ἔργον Ἄρηος,
εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι
πῶς μύες ἐν βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα Γιγάντων,
ὡς λόγος ἐν θνητοῖσιν ἔην· τοίην δ' ἔχεν ἀρχήν.
Μῦς ποτε διψαλέος γαλέης κίνδυνον ἀλύξας,
πλησίον ἐν λίμνῃ λίχνον προσέθηκε γένειον,
ὕδατι τερπόμενος μελιηδέϊ· τὸν δὲ κατεῖδε
λιμνόχαρις πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον·
Ξεῖνε τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠϊόνας; τίς ὁ φύσας;
πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.
εἰ γάρ σε γνοίην φίλον ἄξιον ἐς δόμον ἄξω·
δῶρα δέ τοι δώσω ξεινήϊα πολλὰ καὶ ἐσθλά.
εἰμὶ δ' ἐγὼ βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην
τιμῶμαι βατράχων ἡγούμενος ἤματα πάντα·

L = cod. bibl. Laur. lvi. 1. chart. in folio, ff. 292, s. xiv. (cat. Bandiniani ii. 289 sq.) cont. f. 1 Menandri rhetorica, 11–26 alia rhetorica inter quae Certamen Homeri et Hesiodi, 27–42 Theophylacti opp., 43–51 Polemonis opp., 84 sq. Pollucis onomastici part., 166 sqq. Polyaeni strateg. Post Stephanum primus contulit F. Nietzsche, Acta soc. phil. Lips. 1871, 1 sqq. novissime A. Rzach. Hes. ed. mai. 1902, ed. min. alt. 1908.

Le = Leidensis Vossianus catalogi a. 1715 fol. 394, n. 64 'in charta': cont. Iliadem cum paraphrasi et scholiis unde nonnulla sumpsit Valckenaer in ed. Ammonii a. 1739, vitas iv, v contulit E. Wassenbergh in ed. Homeri libb. i et ii Francquerae 1783.

Li = cod. bibl. Lipsiensis 32 [olim 1275] : chart. mm. 335 × 230, ff. 339, s. xiv–xv. cont. f. 1 vit. iv, v, f. 48 vit. Herod., 52 Iliadem. cf. cat. V. Gardthausen 1898.

$M^1$ = cod. bibl. Monacensis 111. chart. mm. 340—235, ff. 241, s. xv. cont. ff. 1–5 v. Batrach., 5 v. vit. iv, v, 6 v. vit. Proculi, Cypriorum enarrat. exegeses, 9 v. hypotheses, 11 v. Iliadem.

$M^2$ = cod. bibl. Monacensis 311. 'bomb. in octavo,' ff. 357, s. xiii. cont. f. 1 vit. v, f. 5 Iliadem. contulit G. Thomas in usum Westermanni.

$M^3$ = cod. bibl. Monacensis 333. membr. mm. 230 × 155, ff. 110, s. xv. cont. f. 1 Orph. Arg. Mus. hymnos, 69 Proculi hymnos, 72–85 v. h. Ap., h. Merc. 1–192, 91 vit. Herodot. [nobis in Hymnis Mon.]

$Ma^1$ = cod. bibl. publ. Matritensis 4568 (31 ap. Iriart.). chart. mm. 270 × 195, ff. 273, a. 1487. cont. f. 1 Herodoti historias, 265–272 vit. Herodot. 272 Dio Prus. or. f. 264 v. *κωνσταντῖνος ὁ λάσκαρις ἐξέγραψε ἑαυτῷ καὶ τοῖς ἄλλοις ἐν μεσσήνῃ τῆς σικελίας πάλαι ποθήσας κτήσασθαι. οὔτε δὴ παπύρου κρείττονος ἐπιτυχὼν ἐν τῇ πόλει. ἐκγράψας δὲ τάχιστα ὅτι ὁ ἔχων τὰ ἀντίγραφα ξενὸς ὢν ἐβούλετο ἀποδημῆσαι. ἔτει ἀπο θεογονίας ᾱ, ῡ π̄ ζ̄ μηνὸς αὐγούστου ἡμέρα λ̄.*

$Ma^2$ = cod. bibl. publ. Matritensis 4629 (67 ap. Iriart.). chart. mm. 205 × 160, ff. 212, s. xv, manu Lascaris. cont. f. 1 misc. in Homerum, f. 8 v. signa Aristarchea, 9 r. vitam vi sine titulo, 9 v. Hermogenis περὶ Ὁμήρου, 96 r.–97 r. vitt. iv, v.

$Ma^3$ = cod. bibl. publ. Matritensis 4692 (62 ap. Iriart.). chart.

mm. 225 × 160, ff. 135, a. 1460. cont. ff. 3–85 Plutarchi Apophthegmata, 86–134 r. de Homero, 134 v.–135 de Musica. duabus scriptus manibus, quarum altera Lascaris est alterius opus (ff. 48–98, 106–134 r.) adornat in marg. Lascaris. f. 134 r. + κωνσταντίνου τοῦ λασκάρεως κτῆμα καὶ κόπος ἐν μεδιολάνῳ ἐκγραφὲν ἔτει ᾱ, ῡ ξ̄.

Ma⁴ = cod. bibl. publ. Matritensis 7210 (98 Iriart.). chart. mm. 200 × 130, ff. 146, s. xv. cont. f. 5 Gorgiae Helenae laudationem, 9 Herodoti vitam, 19–29 SS. Gregorii et Basilii opuscula, 30 Xenophontis Rempublicam Lacedaemoniorum, 46 Isocratis or. et epist., 107 Libanii opuscula, 137 Aristidis orationem.

N = cod. Neapolitanus olim gentis Taccone: nunc ut litteris certiorem me fecit vir doctissimus Aemidius Martini deperditus: contulit post Gargiullium Stark in usum Welckeri, *Ep. Cycl.* ii. 504 sq. ante quem forte viderat Bachmann, v. Lycophr. ed. 1830 praef. vi, adnott. ad vv. 202, 233. Starkii relationem adicimus: *acht klein aber deutlich beschriebene Blätter ohne viele Abkürzungen, also wohl aus dem* 12. *Jahrhundert, sind einem Ammonius,* περὶ ὁμοίων, *Ald.* 1497 *angeheftet und enthalten* (1) γένος ὁμήρου, *nach der Angabe des Besitzers gedruckt von Leo Allatius, nur* 8–12 *Zeilen und daher ohne Zweifel eins mit* γένος Ὁμήρου *unter* δ′ *in Westermanns Vitarum scriptores min.* p. 27, (2) Πρόκλου περὶ ὁμήρου, (3) τοῦ αὐτοῦ περὶ τῶν κυπρίων λεγομένων ποιημάτων, (4) ὑπόθεσις τῆς ἄλφα ὁμήρου ῥαψῳδίας *und so fort bis* τῆς ζ′. de aetate dubitari potest.

O¹ = cod. Bodleian. Barocci 46. chart. mm. 202 × 155, ff. 217, s. xv. cont. f. 9 Pindari Ol. Pyth., 72 Hesiodi opp., 176 vitam v, 180 Batrachomyomachiam, 200 Musaei Her. et Leand.

O² = cod. Bodleian. Barocci 119. chart. mm. 235 × 163, ff. 143, s. xv–xvi. cont. misc. grammat.: 98 r.–108 v. vit. Herodoti, 109 Gorgiae encom. Helenae, 113 Arati Phaenom. part.

O³ = cod. Bodleian. Barocci 203. chart. mm. 305 × 210, ff. 673, cont. Iliadem praefixa vit. v. [nobis in Iliade O².]

P¹ = cod. bibl. nat. Paris. 1671. membr. mm. 375 × 280, ff. 272 + 220, a. 1296. cont. Plutarchi vitas et moralia: f. 134 v. de Homero.

P² = cod. bibl. nat. Paris. 1672. membr. mm. 395 × 270, ff. 432, s. xiv. cont. Plutarchi vitas et moralia: f. 670 de Homero.

P³ = cod. bibl. nat. Paris. 1732. chart. mm. 205 × 135, ff. 107, s. xv. cont. f. 1 Herodoti vitam, f. 13 Iuliani imperatoris opera.

P⁴ = cod. bibl. nat. Paris. 1805. chart., ff. 298 × 205, ff. 318. cont. f. 1 Pythagorae aurea carmina, 2 v. Batrachomachiam, 9 v. vit. iv, 11 v. Iliadem. f. 1 erasum $\overline{\text{DCX}}$: usus est Allatius exscribente Bourdelotio. ib. βίβλος μαμουνα ἦν εὖτε τάδ᾽ ἐγράφετο. f. 308 r. ἐτελειω (ss. θ) τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ εὐτελοῦς ἱερέως γεωρ (ss. γ) τοῦ γρηγοροπούλου θῦ διδόντος. [nobis in Iliade P¹.]

P⁵ = cod. bibl. nat. Paris. 1868. chart. mm. 287 × 205, ff. 458, s. xv. cont. miscell. philosoph. et med., f. 111 Plutarchi de Homero.

P⁶ = cod. bibl. nat. Paris. 2556. chart. mm. 208 × 145 ff. 88, s. xiv. cont. f. 1 Syncelli de orationis constructione, 29 vitt. iv, v, 30 misc. theologica. f. 1 $\overline{\text{DLIII}}$ eras. usus est Allatius exscribente Bourdelotio et Cramer An. Par. iii. 97 sqq.: f. 28 ad finem Syncelli: ἐγὼ ἔγραψα ταῦτα νικόλαος.

P⁷ = cod. bibl. nat. Paris. 2681. chart. mm. 335 × 250 circ., ff. 231,

s. xiii. cont. f. 1 Choerobosc. περὶ ποιητικῶν τρόπων, 2 r. Tryphon. περὶ τῶν τῆς λέξεως παθῶν, 2 v. vit. Proculi, 3 r. Iliadem. [nobis in Iliade P[3].] [1]

P[8] = cod. bibl. nat. Paris. 2697. membr. 330 x 230, ff. 484, s. xiii. cont. f. 1 Plutarchum de Homero, f. 12 Eustathium in Iliadem A–M una cum textu.

P[9] = cod. bibl. nat. Paris. 2766. chart. mm. 250 x 160, ff. 350, s. xiv. cont. f. 1 v. vit. iv, 2 r. vit. Herod., 7 r. Iliadem. [nobis in Iliade P[11].]

P[10] = cod. bibl. nat. Paris. 2955. chart. mm. 285 x 215, ff. 253, s. xv. cont. f. 1 Luciani opera, f. 68 Xenophontis opera, 115 v. Gorgiae encom. Helen., 118 v. vit. Herodot., 129 v. Plutarchi opuscula, 229 Aristotelis Eth. Nic. lib. i, ii, 247 Philostr. imaginum part.

P[11] = cod. bibl. nat. Paris. 3020. chart. mm. 215 x 155, ff. 122, s. xv. cont. f. 1 Iuliani imperatoris opera, 111 vit. Herodot.

P[12] = cod. bibl. nat. Paris. suppl. gr. 144. chart. mm. 290 x 195, ff. 340, s. xv. cont. f. 2 vit. iv, 4 v. Iliadem. [nobis in Iliade P[16].]

P[13] = cod. bibl. nat. Paris. suppl. gr. 541. chart. mm. 215 x 145, ff. 353, s. xv. cont. misc. philosoph., f. 316 vit. Plutarchi.

P[14] = cod. bibl. nat. Paris. suppl. gr. 1095. chart., ff. 280, s. xv. cont. f. 1 r. vit. Proculi, f. 1 v.–24 v. Plutarchi περὶ Ὁμήρου, 25 Iliadem, 225 r. Homeri Hymnos, 245 v. Callimachi hymnos, 258 v. Orphei hymnos, 274 Procli hymnos, 276 v. Batrachomyomachiam. [nobis in Iliade P[21].]

Pa = cod. bibl. Com. Parmensis H. H. ii. 27. chart. mm. 330 x 231, ff. 222, s. xv–xvi. cont. f. 1 Batrachomyomach. 215–303, 2 vitt. iv, v, vit. Proculi, Cypriorum enarrat., proleg., Iliadem, cf. cat. Aem. Martini, 1893, 169–171. Cypria contulit B. Keil. Rh. Mus., 1848, vi. 141. [nobis in Iliade Pa.]

Pal.[1] = codex Palatinus quo usus est Gothofredus Iungermann in ed. Herodoti Francofort. a. 1608, qui utrum Pal. 179 an 310 fuerit (vid. catalogum Henrici Stevenson a. 1885) non liquet.

Pal.[2] = cod. bibl. Palatinae 40. chart. in quarto, ff. 252, s. xiv. cont. f. 20 Sophoclis Ai. El. O. T., 31 Pindari Ol. Pyth., 57 Dionys. Perieg. descr. orb., 65 Lycophr. Alex., 87 Oppiani Hal., 111 Arati Phaen., 128 Iliadis B, 146 vit. iv, v, Iliadem, 248 Choerobosc. de trop. poet. v. cat. bibl. Pal. Stevenson. 1885, 22 sq. vitas iv, v contulit L. Kayser ap. Westermann.

Pe = cod. Perusinus bibl. com. E. 48. chart. mm. 290 x 210, ff. 359, s. xv. cont. f. 1 Batrachomyomach., 8 vit. iv, v, 9 vit. Procul., 10 Cypriorum enarr., 15–351 Iliadem. Cypria contulit in usum nostrum J. R. Rigg. [nobis in Iliade Pe.]

S = cod. Leidensis Vossianus qu. gr. 18. chart., s. xvi. manu Henrici Stephani. cont. inter alia Certamen Homeri et Hesiodi. cf. Pauli Colomesii opera 1709, p. 854, no. 90, cat. libr. bibl. Lug.-Bat., 1716, 396, H. Omont, *Catalogue des manuscrits des bibliothèques des Pays-Bas*, 1887, 4. contulit primus F. Nietzsche in actis soc. phil. Lipsiensis, 1871, 1 sqq.

[1] cod. Paris. 2683 chart. s. xiv. mm. 335 x 230 ff. 222 habet f. 5 r. vit. iv usque ad τὴν μοῦσαν (lecto μάρωνος, ὀρνηθοῦς, κοιθηΐος).

$U^1$ = cod. bibl. Marc. Venet. 454. membr. mm. 393×278, ff. 327, s. x. cont. f. 1 Proculi Chrestomathiae lib. i: vitam Proculi: f. 4–8 Cycli enarrationem praeter Cypria (Chrestom. lib. ii). f. 12 Iliadem. [nobis in Iliade A.]

$U^2$ = cod. bibl. Marc. Venet. 455. chart. mm. 247×165, ff. 401, s. xiii–xiv. cont. f. 1 r. vit. iv: Iliadem. [nobis in Iliade $U^2$.]

$U^3$ = cod. bibl. Marc. Venet. 514. chart. mm. 215×152, ff. 448, s. xv. cont. misc. f. 352 vit. iv, v, Iliadis A, B. [nobis in Iliade $U^7$.]

$U^4$ = cod. bibl. Marc. Venet. 611. f. 1–45 Plutarchi de Hom.

$U^5$ = cod. bibl. Marc. Venet. ix. 2. chart. mm. 293×220, ff. 375, s. xvi, duobus tomis constans. cont. Iliadem cuius ad finem vit. Proculi. [nobis in Iliade $U^9$.] f. 1 r. uniuscuiusque tomi in schedula impressum *colligebat Ascanius Varese Patavinus Abbas Generalis Congr. Lateranensis Canonicis suis & tibi*: cf. Tomasini cat., p. 21, plut. xvii. 3 et 4, ubi 'donum P. M.' sc. Petri de Montagnana: cf. H. eadem est manu qua cod. Odysseae Ven. ix. 29. [nobis in Iliade $U^9$.]

$U^6$ = cod. bibl. Marc. Venet. ix. 33. chart. et membr., mm. 280×215, ff. 315, s. xv, cont. f. 2 r. vit. iv, v: Iliadem. ad init. *Anthoni Augustini liber*: ibidem impressum *Legato Nobile Girolamo Contarini* 1843. [nobis in Iliade $U^{13}$.]

$V^1$ = Vindob. phil. 5. chart. mm. 430×275, ff. 191, s. xv. cont. ff. 1, 2 vit. Herodot., 4 Iliadem, 84 Quintum Cal., 130 Odysseam. [nobis in Iliade $Vi^1$, olim L.]

$V^2$ = Vindob. phil. 39. chart., ff. 675, s. xv. cont. f. 1–3 r. vit. Suidae, 3 v. προθεωρία τῆς ὅλης ποιήσεως, 5 περὶ διαιρέσεως ποιητῶν, 5 v. ἑπτὰ πόλεις, 6 v. Iliadem. [nobis in Iliade $Vi^2$, olim G.]

$V^3$ = Vindob. phil. 117. bomb., ff. 251, s. xiii. cont. f. 1 vit. iv, v, f. 2 Iliadem. [nobis in Iliade $Vi^5$, olim H.]

Ve = cod. bibl. Vict. Emanuel. Romae 6. membr., s. ix. mm. 227×152, ff. 167. cont. f. 3 anecdotum Osanni quod sequuntur scholia minora in Iliadis A–Z: cf. Osann *Anecdotum Romanum*, Gissae, 1851. Sittl, *Szb. d. K. bayr. Ak. d. Wiss.*, 1888, 274 sqq., Piccolomini, *Hermes*, xxv.

Vrat. = Vratislaviensis 29. membr. mm. 350×255, ff. 177, s. xv. cont. f. 3 Batrach., 6 vit. iv, 6 v. Iliad., 51 r. Odysseam. contulit Kampmann in usum West.

# VITA HERODOTEA

## *Testimonia*

Tatianus *in graecos* ed. Otto c. 31 περὶ γὰρ τῆς ποιήσεως τοῦ Ὁμήρου, γένους τε αὐτοῦ καὶ χρόνου καθʼ ὃν ἤκμασεν, προηρεύνησαν οἱ πρεσβύτατοι, Θεαγένης τε ὁ Ῥηγῖνος κατὰ Καμβύσην γεγονώς, Στησίμβροτός τε ὁ Θάσιος καὶ Ἀντίμαχος ὁ Κολοφώνιος, Ἡρόδοτός τε ὁ Ἁλικαρνασσεὺς καὶ Διονύσιος ὁ Ὀλύνθιος.

Eust. in Iliad. 4. 27 καὶ ὅτι ἔπνεε τὰ ἔπη Ὅμηρος· καὶ οὕτως εἶχε τῆς περιέργου καὶ ἐμμελοῦς μούσης ὡς οὐδὲ τοῦ ἐν ἁπλότητι πεζολογεῖν ἕτεροι, καθὰ καὶ Ἡρόδοτος ἱστορεῖ ἐν οἷς ἔγραψεν εἰς τὸν Ὅμηρον. quae quorsum spectent incertum.

Suidas in Ὅμηρος Bernh. ii. 1108 b 21 Ὅμηρος. ἄγνωστος τοῖς ἀνθρώποις. Ἡρόδοτος δὲ ὁ ἱστορικὸς ἔγραψε βίον Ὁμήρου, μᾶλλον τοῦδε ἁρμοδιώτερον. Cf. et ad vv. 30, 119, 135, 170, 345.

*Codices*: A$^2$, Bm$^2$, Bm$^4$, E$^1$, Li, M$^2$, Ma$^1$ Ma$^2$, O$^2$, P$^3$, P$^9$, P$^{10}$, P$^{11}$, Pal.$^1$, V$^1$, V$^2$: Amstelodamensis Schweighaeuseri quem attulit Westermann idem valet atque folia priora ed. principis: v. H. Omont, *Catalogue des mss. grecs des bibliothèques des Pays-Bas*, 1887, p. 11.

α´. Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς περὶ Ὁμήρου γενέσιος καὶ ἡλικίης καὶ βιοτῆς τάδε ἱστόρηκε, ζητήσας ἐπεξελθεῖν εἰς

*Titulus*: ἡροδότου ἁλικαρνασσέως περὶ τῆς τοῦ ὁμήρου γενέσιος καὶ ἡλικίας καὶ βιοτῆς Bm$^4$ P$^3$ (-σεως): ἡροδότου ἁλικαρνασῆος ἐξήγησις περὶ τῆς τοῦ ὁμήρου γενέσιος καὶ βιοτῆς Bm$^2$ M$^2$ P$^{10}$ P$^{11}$ (om. ἐξήγησις) Pal.$^1$: ἡροδότου εἰς τὸν βίον τοῦ ὁμήρου· ἡροδότου βίος ὁμήρου V$^1$: ἡροδότου περὶ ὁμήρου γενέσεως A$^1$ E$^1$ P$^9$: βίος ὁμήρου ἐξ ἡροδότου συγγραφείς Ma$^1$ βίος ὁμήρου τοῦ ποιητοῦ καθʼ ἡρόδοτον Ma$^4$ om. Li P$^9$

1 ὁ Bm$^2$ M$^2$ O$^2$ P$^{10}$: om. cet. γενέσεως Bm$^4$ P$^3$ Ma$^4$ (-ιος ss.)
2 ἐπελθεῖν Ma$^4$

*τὸ ἀτρεκέστατον. ἐπεὶ γὰρ ἡ πάλαι Αἰολιῶτις Κύμη ἐκτίζετο συνῆλθον ἐν ταὐτῷ παντοδαπὰ ἔθνεα Ἑλληνικά, καὶ δὴ καὶ ἐκ Μαγνησίης ἄλλοι τέ τινες καὶ Μελάνωπος ὁ Ἰθαγένεος τοῦ Κρήθωνος, οὐ πολύφορτος ἀλλὰ βραχέα τοῦ βίου ἔχων. οὗτος δὲ ὁ Μελάνωπος ἔγημεν ἐν τῇ Κύμῃ τὴν θυγατέρα Ὀμύρητος, καὶ αὐτῷ γίνεται ἐκ κοίτης θῆλυ τέκνον, ᾧ οὔνομα τίθεται Κρηθηΐδα. καὶ αὐτὸς μὲν ὁ Μελάνωπος καὶ ἡ γυνὴ αὐτοῦ ἐτελεύτησαν τὸν βίον· τὴν δὲ θυγατέρα ἐπιτρέπει ἀνδρὶ ᾧ ἐχρῆτο μάλιστα, Κλεάνακτι τῷ Ἀργείῳ.*

*β′. Χρόνου δὲ προϊόντος συνέβη τὴν παῖδα μιγεῖσαν ἀνδρὶ λαθραίως ἐν γαστρὶ σχεῖν. τὰ μὲν οὖν πρῶτα ἐλάνθανεν. ἐπεὶ δὲ ᾔσθετο ὁ Κλεάναξ, ἤχθετο τῇ συμφορῇ, καὶ καλεσάμενος τὴν Κρηθηΐδα χωρὶς πάντων ἐν αἰτίῃ μεγάλῃ εἶχεν, ἐπιλεγόμενος τὴν αἰσχύνην τὴν πρὸς τοὺς πολιήτας· προβουλεύεται οὖν περὶ αὐτῆς τάδε· ἔτυχον οἱ Κυμαῖοι κτίζοντες τότε τοῦ Ἑρμείου κόλπου τὸν μυχόν· κτιζομένοισι δὲ τὴν πόλιν Σμύρναν ἔθετο τὸ ὄνομα Θησεύς, μνημεῖον ἐθέλων καταστῆσαι τῆς ἑωυτοῦ γυναικὸς ὁμώνυμον· ἦν γὰρ αὐτῇ τοὔνομα Σμύρνη. ὁ δὲ Θησεὺς ἦν τῶν τὴν Κύμην κτισάντων ἐν τοῖς πρώτοις Θεσσαλῶν, ἀπὸ Εὐμήλου τοῦ Ἀδμήτου, κάρτα εὖ ἔχων τοῦ βίου. ἐνθαῦτα ὑπεκτίθε-*

3 *κύμη ἡ πάλαι αἰολιῶτις* A$^1$ (om. *κύμη*) E$^1$ P$^3$ P$^{11}$ : *κύμη ἡ πάλαι ὑπὸ αἰολέων* Bm$^4$ : *κύμη ἡ πάλαι ὑπὸ αἰολέων* (ss. *αἰωλιῶτις*) Ma$^1$ : *αἰολιῶτις ὑπὸ αἰολεών* (ss. *ιωτῶν*) Ma$^4$ 4 *ταυτῶ* A$^2$ Bm$^2$ M$^2$ O$^2$ P$^{10}$ : *αὐτῇ* (ss. *ῶ*) Ma$^4$ : *αὐτῇ* cet. 5 *μαγνησίας* codd. praeter P$^9$ 6 *κρίθωνος* codd. praeter P$^9$ *τοῦ βίου* om. Bm$^4$ M$^1$ Ma$^4$ (ss. Ma$^1$) 7 *δὲ* (ss. *ὁ*) P$^4$ 8 *τὴν* om. Bm.$^4$ P$^3$ P$^{11}$ V$^1$ ita P$^8$ : *ὁμηρύτου* Ma$^1$ : *ὁμήρυτον* (ss. *υ, η, ου*) Ma$^4$ : *ὁμήρυτος* Bm$^4$ P$^3$ P$^{11}$ 9 *ὄνομα* Bm$^4$ P$^9$ V$^1$ *κρηθηίς* Bm$^4$ Ma$^4$ P$^3$ P$^{11}$ : *κριθ-* cet. a voce *κριθαὶ* ducit Κριθηὶς Tzetz. ex. Il. 12. 25 10 *ἐτελεύτησε* V$^1$ *τὴν θυγατέρα δὲ* Bm$^4$ Ma$^1$ Ma$^4$ P$^3$ 12 *μιγεῖσαν ἀνδρὶ* om. Bm$^4$ Ma$^1$ Ma$^2$, add. marg. 15 *κριθηίδα* Ma$^1$ P$^{10}$ *ὧν αἰτίην μεγάλην εἶχεν* Ma$^4$ 17 *πολιήτας* Bm$^4$ P$^9$ P$^{11}$ O$^2$ ss., *πολίτας* cet. *οὖν* (ss. *δὲ*) Bm$^2$ Bm$^4$ Ma$^1$ 18 *τότε* om. codd. praeter P$^9$ *κόλπον* M$^2$ *κτιζομέ* Bm$^4$ : *κτιζομένην* Ma$^1$ Ma$^4$. Strabo 554 (*Σμύρναν*) *τὴν ὑπὸ τῶν πλείστων λεγομένην αὐτοῦ πατρίδα*, cf. et 645 20 *ἐπώνυμον* codd. praeter Bm$^4$ P$^9$ P$^{11}$ 21 *σμύρνα* Bm$^4$ P$^9$ V$^1$ 22 *ἀμήλου* E$^1$ P$^9$ 23 *εὐδμήτου* uv. P$^{11}$ *κάρτα . . . βίου* om. Bm$^4$ Ma$^1$ Ma$^4$ *εὖ* om. P$^3$ *τὸν βίον* M$^2$ *ἐνταῦθα* A$^1$ Bm$^4$ M$^2$ O$^2$ P$^3$ P$^9$ V$^1$

ται ὁ Κλεάναξ τὴν Κρηθηΐδα πρὸς Ἰσμηνίην τὸν Βοιώτιον τῶν ἀποίκων λελογχότα, ὅς ἐτύγχανεν αὐτῷ ἐὼν ἑταῖρος τὰ μάλιστα.

γʹ. Χρόνου δὲ προϊόντος ἐξελθοῦσα ἡ Κρηθηῒς μετ᾽ ἄλλων γυναικῶν πρὸς ἑορτήν τινα ἐπὶ τὸν ποταμὸν τὸν καλούμενον Μέλητα, ἤδη ἐπίτοκος οὖσα, τίκτει τὸν Ὅμηρον, οὐ τυφλὸν ἀλλὰ δεδορκότα· καὶ τίθεται ὄνομα τῷ παιδίῳ Μελησιγένεα, ἀπὸ τοῦ ποταμοῦ τὴν ἐπωνυμίαν λαβοῦσα. τέως μὲν οὖν ἡ Κρηθηῒς ἦν παρὰ τῷ Ἰσμηνίῃ· προϊόντος δὲ τοῦ χρόνου ἐξῆλθε, καὶ ἀπὸ ἐργασίης χειρῶν ὡρμημένη ἔτρεφε τὸ παιδίον καὶ ἑωυτήν, ἄλλοτε παρ᾽ ἄλλων ἔργα λαμβάνουσα· καὶ ἐπαίδευσε τὸν παῖδα ἀφ᾽ ὧν ἠδύνατο.

δʹ. Ἦν δέ τις ἐν Σμύρνῃ τοῦτον τὸν χρόνον Φήμιος τοὔνομα, παῖδας γράμματα καὶ τὴν ἄλλην μουσικὴν διδάσκων πᾶσαν. οὗτος μισθοῦται τὴν Κρηθηΐδα, ὢν μονότροπος, ἐριουργῆσαι αὐτῷ ἔριά τινα ἃ παρὰ τῶν παίδων εἰς μισθὸν ἐλάμβανεν. ἡ δὲ παρ᾽ αὐτῷ εἰργάζετο, πολλῷ κοσμίῳ καὶ σωφροσύνῃ πολλῇ χρωμένη, καὶ τῷ Φημίῳ κάρτα ἠρέσκετο. τέλος δὲ προσηνέγκατο αὐτῇ λόγους πείθων ἑωυτῷ συνοικεῖν, ἄλλα τε πολλὰ λέγων οἷς μιν ᾤετο προσάξεσθαι, καὶ ἔτι περὶ τοῦ παιδός, υἱὸν ποιούμενος· καὶ ὅτι τραφεὶς καὶ παιδευθεὶς ὑπ᾽ αὐτοῦ ἄξιος λόγου ἔσται· ἑώρα γὰρ τὸν

24 κριθηίδα A$^{2}$ Bm$^{2}$ P$^{10}$ ἰομηνίην A$^{1}$ Bm$^{4}$ E$^{1}$ P$^{4}$ P$^{12}$ : ἰσμήνην Ma$^{4}$ τὸν βοιώτιον] βιότοιο Bm$^{4}$ Ma$^{4}$ P$^{3}$ P$^{9}$ P$^{11}$ : βοιώτοιο Ma$^{1}$ 25 ἔτυχεν praeter Bm$^{4}$ P$^{3}$ P$^{12}$ codd. 26 ταμάλιστα O$^{2}$ 27 δὲ om. E$^{1}$ κριθηὶς Bm$^{2}$ 29 sq. schol. in Lucian. Gall. 6 ed. Rabe 1906 Ἡρόδοτος μέντοι τὸν Ὁμήρου γράφων βίον οὐκ ἀπὸ γενέσεως τυφλὸν αὐτὸν ἱστορεῖ ἀλλὰ πολλὴν πλανώμενον γῆν ἱστορίας χάριν γενέσθαι κατὰ τὴν Ἀττικὴν κἀκεῖ νοσήσαντα χαλεπῶς ὑπὸ τῆς νόσου τὴν ὄψιν ἀποβαλεῖν 29 ἔουσα Ma$^{1}$ 30 παιδίω Bm$^{4}$ P$^{9}$ P$^{10}$ : παιδὶ cet. μελισσογενῆα Ma$^{4}$ : μελλισηγενέα A$^{2}$ : μελισιγενέα P$^{9}$ : μελησιγενέα Bm$^{4}$ P$^{10}$ τῶ παιδίω οὔνομα μελιτογενῆα Ma$^{1}$ 32 κριθηὶς P$^{10}$ ἦν ἡ κρηθηὶς A$^{2}$ Bm$^{2}$ Li M$^{2}$ O$^{2}$ ἰσμηνίῃ P$^{9}$: ἰομηνίῃ Bm$^{4}$ E$^{1}$ P$^{3}$ P$^{11}$ : ἰμηνία A$^{2}$ : ἰσμήνῃ Ma$^{4}$ 33 ἐργασίας Ma$^{1}$ ἐτρέφετο P$^{10}$ 35 ἐπαίδευε Bm$^{4}$ E$^{1}$ P$^{3}$ P$^{11}$ V$^{1}$ ἠδύνατο Bm$^{4}$ P$^{9}$ : ἐδύνατο cet. 38 κριθηίδα A$^{2}$ Bm$^{2}$ O$^{2}$ P$^{10}$ 39 ἱεριουργῆσαι V$^{1}$ αὐτὴν P$^{11}$ εἴρια Bm$^{4}$ P$^{3}$ P$^{9}$ V$^{1}$ μισθὸν Bm$^{4}$ P$^{9}$ P$^{11}$ : μισθοὺς cet. 41 πολλῇ om. Ma$^{1}$ Ma$^{2}$ 45 ὑπ᾽ Bm$^{4}$ P$^{9}$ P$^{11}$ : παρ᾽ cet. ὥρα Ma$^{1}$

*παῖδα ὄντα συνετὸν καὶ κάρτα εὐφυέα· ἔστ' ἀνέπεισεν αὐτὴν ποιεῖν ταῦτα.*

*ε'. Ὁ παῖς δὲ ἦν τε φύσιν ἔχων ἀγαθήν, ἐπιμελίης τε καὶ παιδεύσιος προσγενομένης αὐτίκα πολλὸν τῶν πάντων ὑπερεῖχε. χρόνου δὲ ἐπιγενομένου ἀνδρούμενος οὐδὲν τοῦ Φημίου ὑποδεέστερος ἦν ἐν τῇ διδασκαλίᾳ. καὶ οὕτως ὁ μὲν Φήμιος ἐτελεύτησε τὸν βίον, καταλιπὼν πάντα τῷ παιδί, οὐ πολλῷ δὲ ὕστερον καὶ ἡ Κρηθηῒς ἐτελεύτησεν. ὁ δὲ Μελησιγένης ἐπὶ τῇ διδασκαλίᾳ καθειστήκει· καθ' ἑωυτὸν δὲ γενόμενος μᾶλλον ὑπὸ τῶν ἀνθρώπων ἑωρᾶτο. καὶ αὐτοῦ θωυμασταὶ καθειστήκεισαν οἵ τε ἐγχώριοι καὶ τῶν ξένων οἱ ἐσαπικνεόμενοι. ἐμπόριον γὰρ ἦν ἡ Σμύρνη, καὶ σῖτος ἐξήγετο πολὺς αὐτόθεν ἐκ τῆς ἐπικειμένης χώρας δαψιλέως κάρτα ἐσαγόμενος ἐς αὐτήν. οἱ οὖν ξένοι, ὁκότε παύσοιντο τῶν ἔργων, ἀπεσχόλαζον παρὰ τῷ Μελησιγένει ἐγκαθίζοντες.*

*ϛ'. Ἦν δὲ ἐν αὐτοῖς τότε καὶ Μέντης ναύκληρος ἀπὸ τῶν περὶ Λευκάδα τόπων καταπεπλευκὼς ἐπὶ σῖτον, ἔχων ναῦν, πεπαιδευμένος τε ἀνὴρ ὡς ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πολυΐστωρ· ὅς μιν ἔπεισε τὸν Μελησιγένη μεθ' ἑωυτοῦ πλεῖν καταλύσαντα τὴν διδασκαλίαν, μισθόν τε λαμβάνοντα καὶ τὰ δέοντα πάντα, καὶ ὅτι χώρας καὶ πόλιας θεήσασθαι ἄξιον εἴη αὐτῷ ἕως νέος ἐστί. καί μιν οἴομαι μάλιστα τούτοισι προαχθῆναι· ἴσως γὰρ καὶ τῇ ποιήσει ἤδη τότε ἐπενόει ἐπιθήσεσθαι. καταλύσας*

46 *ἐόντα* Ma$^1$ *ἂν ἔπεισεν* A$^1$ Ma$^2$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ 47 *αὐτὴν*] *μιν* Ma$^1$ 49 *προσγενομένης* P$^9$ : *προσγιν-* cet. 51 *εὐφημίου* E$^1$ *ἐν τῇ διδασκαλίᾳ ὑποδεέστερος* A$^1$ E$^1$ V$^1$ : *ἐν τῇ διδ.* om. Ma$^1$ Ma$^2$ *μὲν* P$^9$ : om. cet. 53 *ἡ* Bm$^2$ Bm$^4$ Li O$^2$ P$^8$ P$^{10}$ : om. cet. *κριθηῒς* A$^2$ Bm$^2$ O$^2$ P$^{11}$ 54 *μελιτογενὴς* Ma$^1$ : *-ησσογ-* Ma$^4$ 55 *ὡρῶτο* Ma$^1$ *αὐτῷ* Ma$^1$ P$^3$ 56 *ξένων εἰς ἑωυτὸν* Ma$^1$ Ma$^4$ 57 *ἐσαπικνεύμενοι* P$^3$ V$^1$ *σμύρνα,* om. *ἡ* P$^3$ V$^1$ 58 *αὐτόθεν* Bm$^4$ P$^9$ P$^{11}$ : *αὐτόθι* cet. *ἐκ τῆς*] *αὐτῆς* M$^2$ *περικειμένης* ed. pr 60 *μελησιγενεῖ* codd. (*-ησογ-* Ma$^4$) 62 *τὴν λευκάδα* Ma$^1$ 64 *μιν* om. Ma$^1$ Ma$^4$ *μελησιγενῆ* Bm$^2$ E$^1$ O$^2$ P$^{10}$ : *-έα* Ma$^1$ Ma$^4$ P$^3$ : *μελισσ-* Ma$^4$ *καταλύσαντες* E$^1$ P$^{10}$ V$^1$ 65 *λαμβάνοντες* E$^1$ V$^1$ 66 *ὅτι*] *ἔτι* E$^1$ : *ἔτι τε* A$^1$ : *ἔτι τὸ* Bm$^4$ Ma$^1$ Ma$^4$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ : *ὅτι τε* Bm$^2$ O$^2$ *χωρας* (ss. *ει*) P$^3$ *αὐτοῦ* E$^1$ V$^1$ 67 *προσαχθῆναι* P$^3$ P$^9$ : *προαχθῆναι* . . . 68 *τότ'* om. Ma$^1$ Ma$^4$ *ἤδη* P$^9$ : om. cet. *ἐπιθήσασθαι* P$^3$

δὲ τὴν διδασκαλίαν ἐναυτίλλετο μετὰ τοῦ Μέντεω. καὶ ὅπου ἑκάστοτε ἀφίκοιτο πάντα τὰ ἐπιχώρια διεωρᾶτο, καὶ ἱστορέων ἐπυνθάνετο. εἰκὸς δέ μιν ἦν καὶ μνημόσυνα πάντων γράφεσθαι.

ζ′. Ἀνακομιζόμενοι δὲ ἐκ Τυρσηνίης καὶ τῆς Ἰβηρίης ἀπικνέονται εἰς Ἰθάκην. καὶ τῷ Μελησιγένει συνέβη νοσήσαντι τοὺς ὀφθαλμοὺς κάρτα δεινῶς ἔχειν, καὶ αὐτὸν θεραπείης εἵνεκα πλεῖν μέλλων εἰς τὴν Λευκάδα, καταλιπεῖν ὁ Μέντης παρὰ ἀνδρὶ φίλῳ ἑωυτοῦ ἐς τὰ μάλιστα Μέντορι τῷ Ἀλκίμου Ἰθακησίῳ, πολλὰ δεηθεὶς ἐπιμελίην ἔχειν· ἐπαναπλώσας δὲ ἀναλήψεσθαι αὐτόν. ὁ δὲ Μέντωρ ἐνοσήλευσεν αὐτὸν ἐκτενέως· καὶ γὰρ τοῦ βίου ἀρκεόντως εἶχε, καὶ ἤκουεν εὖ ἐς δικαιοσύνην τε καὶ φιλοξενίην μακρῷ μάλιστα τῶν ἐν Ἰθάκῃ ἀνδρῶν. ἐνθαῦτα συνέβη τῷ Μελησιγένει περὶ Ὀδυσσέως ἐξιστορῆσαι καὶ πυθέσθαι. οἱ μὲν δὴ Ἰθακήσιοι λέγουσι τότε μιν παρ᾽ ἑωυτοῖς τυφλωθῆναι· ὡς δὲ ἐγώ φημι τότε μὲν ὑγιῆ γενέσθαι, ὕστερον δὲ ἐν Κολοφῶνι τυφλωθῆναι. συνομολογοῦσι δέ μοι καὶ Κολοφώνιοι τούτοις.

η′. Ὁ δὲ Μέντης ἀναπλέων ἐκ τῆς Λευκάδος προσέσχεν εἰς τὴν Ἰθάκην καὶ ἀνέλαβε τὸν Μελησιγένεα· χρόνον τε ἐπὶ συχνὸν συμπεριέπλει αὐτῷ. ἀπικομένῳ δὲ ἐς Κολοφῶνα συνέβη πάλιν νοσήσαντα τοὺς ὀφθαλμοὺς μὴ δύνασθαι διαφυγεῖν τὴν νόσον, ἀλλὰ τυφλωθῆναι ἐνθαῦτα. ἐκ δὲ τῆς

69 τοῦ om. V$^1$  70 ἀφίκετο (ss. οι) M$^2$  71 ἦν om. add. ss. O$^2$  73 τῆς τυρσ. Ma$^1$ Ma$^4$ P$^3$ : τυρσηνίας A$^1$ Bm$^2$ O$^2$  74 εἰς τὴν ἰθάκην P$^3$  μελησιγενεῖ Bm$^2$ E$^1$ O$^2$ P$^3$ P$^{10}$ : -ησσ- Ma$^4$ : -ισ- Ma$^1$  75 καὶ om. Ma$^1$ (add. ss.) Ma$^4$  76 ἕνεκα A$^1$ Bm$^2$ Li M$^2$ : ἕνεκεν Bm$^4$ : τε εἵνεκα Ma$^1$  λευκάδα] ἑλλάδα P$^9$  77 ὁ μέντης καταλιπεῖν Ma$^1$  μὲν τῆς Bm$^2$  ἑαυτοῦ P$^3$  78 ἐπιμελείην codd.  79 ἀπολήψεσθαι Bm$^4$ Ma$^1$ P$^3$ P$^9$  ἐνοσήλευεν Bm$^2$ Bm$^4$ M$^2$ Li P$^3$ Pal.$^1$  80 ἐκτενεῶς Bm$^4$ P$^3$  ἀρκέοντος Ma$^1$ Ma$^4$ P$^3$  81 φιλοξενίαν Bm$^2$  82 ἐν (ss. ϊ) P$^3$  83 μελησιγενεῖ codd. (σσ Ma$^1$)  τὰ περὶ Ma$^4$ P$^3$ P$^9$  ἱστορῆσαι (ss. ἐξ) Bm$^4$ Ma$^1$ : ἱστορῆσαι P$^{12}$  84 ἑωυτοῦ E$^1$ M$^2$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ : ἑωυτῶ A$^2$  86 τυφλωθέντα Bm$^4$ Ma$^1$ Ma$^4$ P$^3$ P$^{11}$ (-ῆναι ss. Bm.$^4$ Ma$^1$ Ma$^4$)  88 ἀναπλώων Ma$^1$  προσέσχεν εἰς τὴν ἰθάκην V$^1$ : πρόσεχεν Bm$^2$ E$^1$ M$^2$ O$^2$  89 μελησιγένεα A$^2$ : -έα cet. (-ισσογ- Ma$^1$)

Κολοφῶνος τυφλὸς ἐὼν ἀπικνέεται εἰς τὴν Σμύρναν καὶ οὕτως ἐπεχείρει τῇ ποιήσει.

θʹ. Χρόνου δὲ προϊόντος ἐν τῇ Σμύρνῃ ἄπορος ἐὼν τοῦ βίου διενοήθη ἀπικέσθαι ἐς Κύμην. πορευόμενος δὲ διὰ τοῦ Ἕρμου πεδίου, ἀπικνέεται ἐς Νέον τεῖχος, ἀποικίην Κυμαίων. ᾠκίσθη δὲ τοῦτο τὸ χωρίον ὕστερον Κύμης ἔτεσιν ὀκτώ. ἐνθαῦτα λέγεται αὐτὸν ἐπιστάντα ἐπὶ σκυτεῖόν τι εἰπεῖν πρῶτα τὰ ἔπεα τάδε·

αἰδεῖσθε ξενίων κεχρημένον ἠδὲ δόμοιο,
οἳ πόλιν αἰπεινὴν Κύμην ἐριώπιδα κούρην
ναίετε, Σαρδήνης πόδα νείατον ὑψικόμοιο·
ἀμβρόσιον πίνοντες ὕδωρ θείου ποταμοῖο
Ἕρμου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς.

ἡ δὲ Σαρδήνη ὄρος ἐστὶν ὑπερκείμενον τοῦ τε Ἕρμου ποταμοῦ καὶ τοῦ Νέου τείχους. τῷ δὲ σκυτεῖ ὄνομα ἦν Τυχίος· ἀκούσαντι δὲ τῶν ἐπέων ἔδοξεν αὐτῷ δέξασθαι τὸν ἄνθρωπον. ἠλέησε γὰρ αἰτέοντα τυφλόν, καὶ ἐκέλευσεν εἰσιέναι τ' αὐτὸν εἰς τὸ ἐργαστήριον καὶ μετέξειν ἔφη τῶν παρεόντων, ὁ δὲ ἐσῆλθε. κατήμενος δὲ ἐν τῷ σκυτείῳ παρεόντων καὶ ἄλλων τήν τε ποίησιν αὐτοῖς ἐπεδείκνυτο, Ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν ἐς Θήβας, καὶ τοὺς ὕμνους τοὺς ἐς θεοὺς πεποιημένους αὐτῷ· καὶ περὶ τῶν λεγομένων ὑπὸ τῶν παρεόντων ἐς τὸ μέσον γνώμας ἀποφαινόμενος θωύματος ἄξιος ἐφαίνετο εἶναι τοῖς ἀκούουσι.

93 *σμύρνην* Bm$^2$ 95 *τὸν βίον* M$^2$ 97 *ἕρμοῦ* Bm$^2$ Ma$^1$ P$^3$ *νέος τεῖχος* Ma$^1$ 99 *ἐπὶ*] *ἐς* P$^3$ 101–105 traduntur tanquam hymnus in C D E Π T hymnorum codicibus, cf. f. 92. 101 *αἰδεῖσθαι* Ma$^2$ P$^9$: v. om. Bm$^2$ 102 *πόλου* Bm$^4$ E$^1$ Li Ma$^1$ Ma$^4$ P$^3$ P$^9$ P$^{11}$ (*πόλιν* Ma$^1$ Ma$^2$ corr.) *Κύμης* Pauw *ἐριπιδα* P$^9$ *νύμφης ἐρατώπιδος ἥρης* hymn. 103 *σαρδόνης* M$^2$ *ναίετ' ἐς ἄδην ἧς πόδα* hymnorum codd. *Σαιδηνή· ὄρος Κύμης* Steph. Byz. 104 *θείου*] *ξανθοῦ* hymn. 105 *ἕρμοῦ* Ma$^1$ Ma$^4$ : *ἕρμον* M$^2$ *ἕβρου καλὰ ῥέοντος* hymn. 107 *νέου* om. Ma$^1$ 109 *αἰτέοντα* Bm$^2$ Bm$^4$ Li O$^2$ P$^4$ P$^9$ P$^{11}$ Pal.$^1$: *καὶ τέοντα* M$^2$ : *ἀλγέοντα* cet. *καὶ . . . ἐργαστήριον* hab. Bm$^2$ Li M O$^2$ P$^4$ P$^9$ P$^{11}$ Pal.$^1$: om. cet. *μεθέξειν* A$^2$ Bm$^2$ Bm$^4$ E$^1$ Li Ma$^1$ O$^2$ P$^4$ P$^{10}$ P$^{11}$ P$^{12}$ V$^1$ 111 *καθήμενος* Bm$^2$ Bm$^4$ E$^1$ M$^2$ O$^2$ P$^4$ P$^{10}$ P$^{11}$ P$^{12}$ V$^1$ 112 *ἐπεδείκνυτο*] *ἐπῇδε* Ma$^1$ 113 *τοὺς ὕμνους ἐπεκρότει* P$^4$ 115 *παρεόντων καὶ ἄλλων* P$^{10}$ e 20 116 *θαύματος* A$^2$ Bm$^2$ Li M$^2$ O$^2$

ι′. Τέως μὲν οὖν κατεῖχεν ὁ Μελησιγένης περὶ τὸ Νέον τεῖχος, ἀπὸ τῆς ποιήσιός γε τοῦ βίου τὴν μηχανὴν ἔχων. ἐδείκνυον δὲ οἱ Νεοτειχεῖς μέχρις ἐπ᾽ ἐμοῦ τὸν χῶρον ἐν ᾧ κατίζων τῶν ἐπέων τὴν ἐπίδειξιν ἐποιέετο, καὶ κάρτα ἐσέβοντο τὸν τόπον. ἐν ᾧ καὶ αἴγειρος ἐπεφύκει ἣν ἐκεῖνοι ἔφασαν ἀφ᾽ οὗ ὁ Μελησιγένης ἦλθεν αὐτοῖς πεφυκέναι.

ια′. Χρόνου δὲ προϊόντος, ἀπόρως κείμενος καὶ μόλις τὴν τροφὴν ἔχων ἐπενοήθη εἰς τὴν Κύμην ἀπικέσθαι, εἴ τι βέλτιον πρήξει. μέλλων δὲ πορεύεσθαι τάδε τὰ ἔπεα λέγει·

αἶψα πόδες με φέροιεν ἐς αἰδοίων πόλιν ἀνδρῶν·
τῶν γὰρ καὶ θυμὸς πρόφρων καὶ μῆτις ἀρίστη.

ἀπὸ δὲ τοῦ Νέου τείχεος πορευόμενος ἀπίκετο εἰς τὴν Κύμην διὰ Λαρίσσης τὴν πορείαν ποιησάμενος· ἦν γὰρ οὕτως αὐτῷ εὐπορώτατον· καί, ὡς Κυμαῖοι λέγουσι, τῷ Φρυγίης βασιλῆϊ Μίδῃ τῷ Γορδίεω δεηθέντων πενθερῶν αὐτοῦ ποιεῖ καὶ τὸ ἐπίγραμμα τόδε, τὸ ἔτι καὶ νῦν ἐπὶ τῆς στήλης τοῦ μνήματος τοῦ Γορδίεω ἐπιγέγραπται·

χαλκῆ παρθένος εἰμί, Μίδεω δ᾽ ἐπὶ σήματι κεῖμαι·

117 οὖν] δὴ Bm$^{4}$ P$^{4}$ P$^{10}$ P$^{12}$ κατῴκει Ma$^{1}$ μελισηγένης A$^{2}$ : -γενὴς Bm$^{2}$ O$^{2}$ : μελισσο- Ma$^{1}$ et 6 119 Steph. Byz. in Νέον Τεῖχος· . . . καὶ Νεοτειχεῖς ὡς Ἡρόδοτος ἐν Ὁμήρου βίῳ 122 μελησιγενὴς Bm$^{2}$ C$^{2}$ 124 εἴ τι Bm$^{2}$ Li M$^{2}$ O$^{2}$ P$^{9}$ P$^{11}$ Pal.$^{1}$ : ὅτι cet. 129 ἀφίκετο V$^{1}$ 130 ἦν δὲ Ma$^{1}$ om. γὰρ . . . καί add. ss. 131 οὕτως om. O$^{2}$ add. ss. εὐπορώτατος Bm$^{4}$ λέγουσι ὅτε συνέβη τῶ φρ. βασ. μίδ. τ. γορδ. ἀποθανεῖν Ma$^{1}$ 132 δεηθέντων (ss. οσ) πενθεροῦ V$^{1}$ : πενθῶς αὐτῶ Bm$^{4}$ P$^{4}$ P$^{11}$ : δεηθέντων δὲ αὐτῶν καὶ πενθούντων ποιεῖ Ma$^{1}$ : δεηθέντων καὶ πενθούντων (ex πενθως) αὐτοῦ ποιεῖ Ma$^{4}$ : δεηθέντων . . . γορδίεω om. P$^{9}$ 133 καὶ τὸ] τὸ Bm$^{2}$ Bm$^{4}$ Li M$^{2}$ O$^{2}$ Pal. P$^{11}$ : τὸ om. cet. 134 ἐπιγέγραπται στίχοι τέσσαρες Bm$^{4}$ E$^{1}$ Ma$^{1}$ (ἐπιγέγραπτο) Ma$^{4}$ P$^{3}$ P$^{9}$ P$^{11}$ V$^{1}$ : in Ma$^{1}$ Ma$^{4}$ verba linea obducta sunt
135–140 Cleobuli epigramma hab. Plat. Phaedr. 264 C εὑρήσεις τοῦ ἐπιγράμματος οὐδὲν διαφέροντα ὃ Μίδᾳ τῷ Φρυγί φασίν τινες ἐπιγεγράφθαι, cf. P. L. G. iii. 202. 414. Dio Prus. xxxvii. 120 = 465 ὁ δὲ ποιητὴς ἄλλως ἐκόμπαζεν ὁ τοῦτο τὸ ἐπίγραμμα ποιήσας ὅ φασιν ἐπὶ τῷ Μίδα σήματι γεγράφθαι. Diogenes Laert. i. 6 καὶ τὸ ἐπίγραμμά τινες τὸ ἐπὶ Μίδᾳ τοῦτόν [sc. τὸν Κλεόβουλον] φασι ποιῆσαι . . . φέρουσι δὲ μαρτύριον Σιμωνίδου ᾆσμα ὅπου φησὶ [Simon. fr. 57 P. L. G. iii. p. 414] οὐ γὰρ εἶναι Ὁμήρου τὸ ἐπίγραμμα, πολλοῖς ἔτεσι προέχοντος, φασί, τοῦ Μίδα. Anth. Pal. vii. 153 (Ὁμήρου, οἱ δὲ Κλεοβούλου τοῦ Λινδίου). Io. Philoponus in

ἔστ' ἂν ὕδωρ τε ῥέῃ καὶ δένδρεα μακρὰ τεθήλῃ
ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
καὶ ποταμοί γε ῥέωσιν ἀνακλύζῃ δὲ θάλασσα,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτου ἐπὶ τύμβου
ἀγγελέω παριοῦσι Μίδης ὅτι τῇδε τέθαπται.

ιβ'. Κατίζων δὲ ἐν ταῖς λέσχαις τῶν γερόντων ἐν τῇ Κύμῃ ὁ Μελησιγένης τὰ ἔπεα τὰ πεποιημένα αὐτῷ ἐπεδείκνυτο, καὶ ἐν τοῖς λόγοις ἔτερπε τοὺς ἀκούοντας· καὶ αὐτοῦ θωυμασταὶ καθειστήκεσαν. γνοὺς δὲ ὅτι ἀποδέκονται αὐτοῦ τὴν ποίησιν οἱ Κυμαῖοι καὶ εἰς συνήθειαν ἕλκων τοὺς ἀκούοντας, λόγους πρὸς αὐτοὺς τοιούσδε προσήνεγκε, λέγων ὡς εἰ θέλοιεν αὐτὸν δημοσίῃ τρέφειν ἐπικλεεστάτην αὐτῶν τὴν πόλιν ποιήσει. τοῖς δὲ ἀκούουσι βουλομένοις τε ἦν ταῦτα, καὶ αὐτοὶ παρῄνεον ἐλθόντα ἐπὶ τὴν βουλὴν δεηθῆναι τῶν βουλευτέων· καὶ αὐτοὶ ἔφασαν συμπρήξειν. ὁ δὲ ἐπείθετο αὐτοῖς, καὶ βουλῆς συλλεγομένης ἐλθὼν ἐπὶ

Ar. anal. post. 77 B Brandis: *κύκλον δέ φησι τὰ ἔπη ἤτοι τὰ ἐπιγράμματα τὰ οὕτω πεποιημένα, οὐχ ὡς τῇ κατὰ τὸ τέλος τοῦ πρώτου στίχου λέξει ἀκολουθούσης τῆς ἀρχῆς τοῦ δευτέρου καὶ τούτῳ τοῦ τρίτου καὶ ἐφεξῆς, ἀλλ' ὡς δύνασθαι τὸν αὐτὸν στίχον καὶ ἀρχὴν καὶ τέλος ποιεῖσθαι, οἷόν ἐστι καὶ τοῦτο*

*χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐνὶ σήματι κεῖμαι.*

*λέγει δὲ Ἡρόδοτος ἐν τῷ βίῳ τοῦ Ὁμήρου Ὁμήρου εἶναι τὸ ἐπίγραμμα εἰς Μίδαν τῶν Φρυγῶν βασιλέα.* Certamen 265–270. 135 om. Bm$^4$ E$^1$ Li Ma$^1$ Ma$^4$ P$^4$ P$^9$ P$^{11}$ V$^1$, add. Ma$^1$ Ma$^4$ marg. *μίδου* Philop. Diog. Cert. Bm$^2$ O$^2$ Ma$^1$ marg., *Μίδα* Plato *ἐνὶ* Philop. *σήματος ἧμαι* Cert. Dio Diog. Anthol. cf. Φ 122 σ 105. 136 hunc v. citant Sext. Emp. Hyp. Pyrrh. ii. 37 adv. Math. viii. 184. Longinus de subl. 36. 2. Libanius *Μον. ἐπὶ Ἰουλιανοῦ* i. 519 R. *ὄφρ' ἂν* Plato Liban.: *εὖτ' ἂν* Anth. Plan. Σ *ῥέοι* A$^2$ Bm$^2$ M$^2$ O$^2$ P$^{10}$: *ῥέει* Bm$^4$ Ma$^4$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ *νάῃ* Plat. Diog. Cert. Sextus Hyp. Pyrrh. Liban. *τεθήλοι* A$^2$ Bm$^2$ M$^2$ O$^2$ P$^{10}$ Ma$^1$ ss.: *τεθήλει* Bm$^4$ E$^1$ Ma$^1$ Ma$^4$ P$^9$ V$^1$: *τεθήλυ* P$^3$: *τεθη* (ss. λ) P$^{11}$: 137, 138 om. Plat. Dio Anth. 138 tantum om. Anth. Pl$^E$ Σ 137 *λάμποι* A$^2$ Bm$^2$ Li O$^2$ P$^{10}$ Ma$^1$ ss.: *λάμπει* Ma$^1$ Ma$^4$ P$^3$ P$^9$ P$^{11}$ *λαμπρὰ*] *μακρὰ* Bm$^4$ Ma$^1$ Ma$^4$ P$^3$ P$^{11}$ 138 ante 137 hab. Cert. 138 *γε ῥέωσιν*] *πλήθωσιν* Cert. *περικλύζῃ* Cert. 139 *πολυκλαύτῳ ἐπὶ τύμβῳ* Dio. Cert.: *πολυκλαύστου* Ma$^1$ Ma$^4$ 140 *σημανέω* Cert. *μίδας* Plato Dio: *μίδης* (ss. *ας*) Ma$^4$ 142 *μελισηγένης* A$^2$: *μελισσογ-* Ma$^1$: *-γενὴς* Bm$^2$ O$^2$ 143 *αὐτῶ* (ss. *ις*) Ma$^1$: *αὐτῶ* ex *αὐτοῦ* Ma$^4$ 144 *καθειστήκεσαν* A$^1$ (*-χεσαν*) P$^4$ P$^{10}$ P$^{12}$: *-εισαν* cet. *ἀποδέχονται* Bm$^2$ Li M$^2$ O$^2$: *ἀπεδέκοντο* Ma$^1$ 146 *προήνεγκε* (ss. *οη*) O$^2$ 150 *συμπράξειν* (ss. *η*) M$^2$

τὸ βουλεῖον ἐδεῖτο τοῦ ἐπὶ τῇ τιμῇ ταύτῃ καθεστῶτος ἀπαγαγεῖν αὐτὸν ἐπὶ τὴν βουλήν. ὁ δὲ ὑπεδέξατό τε καὶ ἐπεὶ καιρὸς ἦν ἀπήγαγε· καταστὰς δὲ ὁ Μελησιγένης ἔλεξε περὶ τῆς τροφῆς τὸν λόγον ὃν καὶ ἐν ταῖς λέσχαις ἔλεγεν. ὡς δὲ εἶπεν ἐξελθὼν ἐκάθητο.

ιγ΄. Οἱ δὲ ἐβουλεύοντο ὅτι χρεὼν εἴη ἀποκρίνασθαι αὐτῷ. προθυμουμένου δὲ τοῦ ἀπάγοντος αὐτὸν καὶ ἄλλων ὅσοι τῶν βουλευτέων ἐν ταῖς λέσχαις ἐπήκοοι ἐγένοντο, τῶν βουλευτέων ἕνα λέγεται ἐναντιωθῆναι τῇ χρήμῃ αὐτοῦ, ἄλλα τε πολλὰ λέγοντα καὶ ὡς εἰ τοὺς ὁμήρους δόξει τρέφειν αὐτοῖς ὅμιλον πολλόν τε καὶ ἀχρεῖον ἕξουσιν. ἐντεῦθεν δὲ καὶ τοὔνομα Ὅμηρος ἐπεκράτησε τῷ Μελησιγένει ἀπὸ τῆς συμφορῆς· οἱ γὰρ Κυμαῖοι τοὺς τυφλοὺς ὁμήρους λέγουσιν· ὥστε πρότερον ὀνομαζομένου αὐτοῦ Μελησιγένεος τοῦτο γενέσθαι τοὔνομα Ὅμηρος.

ιδ΄. Καὶ οἱ ξένοι διήνεγκαν ὅτε μνήμην αὐτοῦ ἐποιοῦντο. ἐτελεύτα δ᾽ οὖν ὁ λόγος τῷ ἄρχοντι μὴ τρέφειν τὸν Ὅμηρον, ἔδοξε δέ πως καὶ τῇ ἄλλῃ βουλῇ. ἐπελθὼν δὲ ὁ ἐπιστάτης καὶ παρεζόμενος αὐτῷ διηγήσατο τοὺς ἐναντιωθέντας λόγους τῇ χρήμῃ αὐτοῦ καὶ τὰ δόξαντα τῇ βουλῇ. Ὁ δέ, ὡς ἤκουσεν, ἐσυμφόρηνέ τε καὶ λέγει τὰ ἔπεα τάδε·

οἵῃ μ᾽ αἴσῃ δῶκε πατὴρ Ζεὺς κύρμα γενέσθαι,<br>
νήπιον αἰδοίης ἐπὶ γούνασι μητρὸς ἀτάλλων.<br>
ἥν ποτ᾽ ἐπύργωσαν βουλῇ Διὸς αἰγιόχοιο<br>
λαοὶ Φρίκωνος, μάργων ἐπιβήτορες ἵππων,

153 αὐτὸν τὴν βουλὴν V$^1$ ἀπεδέξατο Ma$^1$ 154 μελισσογ- Ma$^1$: -γενὴς Bm$^2$ O$^2$ P$^{12}$ 155 καὶ om. P$^{10}$ 158 τούτῳ P$^4$ P$^{10}$ P$^{12}$ ἀπαγαγόντος Bm$^4$ P$^4$ P$^{10}$ P$^{12}$: ἀπάγοντος (ss. ε) P$^{11}$ 160 τῶν βασιλέων Ma$^1$ P$^3$ P$^9$ V$^1$, cf. B 206 162 αὐτοὺς Ma$^1$ 163 μελισηγ- A$^1$ ubique: μελισσογ- Ma$^1$: -γενεῖ Bm$^2$ O$^2$ 164 ἐκ τῆς Ma$^1$ ὁμήρους] ὅμιλλοσ O$^2$ 165 ὥστε . . . ὅμηρος om. Ma$^1$ -γενέος Bm$^2$ O$^2$ 166 τούτω V$^1$ 167 οὕτω καὶ Ma$^1$ αὐτῶν ex αὐτοῦ M$^2$ 169 καὶ Bm$^2$ Bm$^4$ Li P$^{10}$: om. cet. 170 τοὺς ἐναντιωθέντας τῇ χρήμῃ αὐτοῦ cit. Suidas in Χρήμη (Ἡρόδοτος εἰς τὸν βίον ὁμήρου) 172 ἐσυμφόραινέ P$^{12}$: συμφόρηνέ V$^1$: ἐδυσφόραινέ Bm$^4$ Ma$^1$ ἔλεγε Ma$^1$ 173 οἴη μαίτι Bm$^4$ Ma$^1$ uv., Ma$^2$ P$^3$ P$^{12}$ (sc. ἄτῃ, cl. 262): μ᾽ ἄλσῃ O$^2$, Ma$^1$ Ma$^4$ corr. 175 βουλὴν V$^1$, de re cf. 544, 545

ὁπλότεροι μαλεροῖο πυρὸς κρίνοντες Ἄρηα,
Αἰολίδα Σμύρνην ἁλιγείτονα ποντοτίνακτον
ἥν τε δι' ἀγλαὸν εἶσιν ὕδωρ ἱεροῖο Μέλητος·
ἔνθεν ἀπορνύμεναι κοῦραι Διός, ἀγλαὰ τέκνα,
ἠθελέτην κλῆσαι δῖαν χθόνα καὶ πόλιν ἀνδρῶν,
οἱ δ' ἀπανηνάσθην ἱερὴν ὄπα, φῆμιν, ἀοιδήν.
ἀφραδίῃ τῶν μέν τε παθών τις φράσσεται αὖθις,
ὅς σφιν ὀνείδεσσιν τὸν ἐμὸν διεμήσατο πότμον.
κῆρα δ' ἐγὼ τήν μοι θεὸς ὤπασε γεινομένῳ περ
τλήσομαι ἀκράαντα φέρων τετληότι θυμῷ.
οὐδέ τι μοι φίλα γυῖα μένειν ἱεραῖς ἐν ἀγυιαῖς
Κύμης ὁρμαίνουσι, μέγας δέ με θυμὸς ἐπείγει
δῆμον ἐς ἀλλοδαπῶν ἰέναι ὀλίγον περ ἐόντα.

ιε΄. Μετὰ τοῦτο ἀπαλλάσσεται ἐκ τῆς Κύμης ἐς Φωκαίην, Κυμαίοις ἐπαρησάμενος μηδένα ποιητὴν δόκιμον ἐν τῇ χώρᾳ γενέσθαι ὅστις Κυμαίους ἐπαγλαϊεῖ. ἀπικόμενος δὲ ἐς Φωκαίην τῷ αὐτῷ τρόπῳ ἐβιότευσεν, ἔπεα ἐνδεικνύμενος ἐν ταῖς λέσχαις κατίζων. ἐν δὲ τῇ Φωκαίῃ τοῦτον τὸν χρόνον Θεστορίδης τις ἦν γράμματα διδάσκων τοὺς παῖδας, ἀνὴρ οὐ κρήγυος· κατανοήσας δὲ τοῦ Ὁμήρου τὴν ποίησιν λόγους τοιούσδε αὐτῷ προσήνεγκε, φὰς ἕτοιμος εἶναι θεραπεύειν καὶ τρέφειν αὐτὸν ἀναλαβών, εἰ ἐθέλοι ἅ γε πεποιημένα εἴη αὐτῷ τῶν ἐπέων ἀναγράψασθαι καὶ ἄλλα ποιῶν πρὸς ἑωυτὸν ἀναφέρειν αἰεί.

177 *μαλεοῖο* Bm$^4$ Ma$^1$ Ma$^4$ 178 *σμύρνην* (ss. *αν*) P$^9$ *ποτνιάνακτον* codd. (*τν* corr. Ma$^1$ : *πολυάνακτον* Li) : corr. Pierson 179 *ἥνπερ* V$^1$ : *τε* om. E$^1$ P$^3$ P$^{10}$ : *ἣν δϊ* P$^9$ 181, 182 om. E$^1$ P$^9$ V$^1$ 182 *φῆμιν* P$^{11}$ : *φήμην* Bm$^4$ Ma$^1$ Ma$^4$ : *φημὶ* cet. *ἀοιδῆς* Wolf 183 *ἀφραδίῃ* Li Ma$^1$ Ma$^4$ P$^{11}$ : *-ίην* cet. *παθ[illegible]ῶν* A$^2$ *φράσσατο* V$^1$ : *-αντο* Ma$^1$ Ma$^2$ : *-ετο* P$^3$ *αὖτις* P$^9$ : *αὖθις* cet. 184 *ὀνείδεσιν* A$^2$ Bm$^2$ Li M$^2$ O$^2$ P$^{10}$ : *-εσσιν* cet. *διεδμήσατο* Li : *διεδημήσατο* Bm$^2$ M$^2$ O$^2$ P$^{10}$ 185 *ἔδωκε* V$^1$ 186 *ἀκράαντον* codd. praeter P$^{11}$ 189 *ἀλλοδαπὸν* codd. praeter Li P$^9$ 191 *γενέσθαι ἐν τῇ χώρα* M$^2$ : *χώρῃ* V$^1$ 192 *ὅτις* Bm$^2$ Li M$^2$ O$^2$ *ἐπαγλαεῖ* M$^2$ 193 *ἐβιότευεν* A$^2$ Bm$^4$ Ma$^1$ P$^4$ P$^{10}$ P$^{12}$ V$^1$ *ἐνδεικνύμενος* om. P$^{10}$ 196 *κρήγ̄υος* M$^2$, *γ* corr. : *κρήγιος* V$^1$ 198 *ἐθέλει* Bm$^4$ O$^2$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ : *ἐθελοιέ γε* M$^2$ *αὐτῷ εἴη* V$^1$ 199 *ἀναγράψαι* Bm$^4$ P$^3$ P$^9$ P$^{11}$ : *-άσθαι* cet. *ἑαυτὸν* V$^1$

*ις'*. Τῷ δὲ Ὁμήρῳ ἀκούσαντι ἔδοξε ποιητέα εἶναι ταῦτα· ἐνδεὴς γὰρ ἦν τῶν ἀναγκαίων καὶ θεραπείης. διατρίβων δὲ παρὰ τῷ Θεστορίδῃ ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω, ἧς ἡ ἀρχή

Ἴλιον ἀείδω καὶ Δαρδανίην ἐΰπωλον,
ἧς πέρι πολλὰ πάθον Δαναοί, θεράποντες Ἄρηος·

καὶ τὴν καλουμένην Φωκαΐδα, ἥν φασιν οἱ Φωκαεῖς Ὅμηρον παρ' αὐτοῖσι ποιῆσαι. ἐπεὶ δὲ τήν τε Φωκαΐδα καὶ τἄλλα πάντα παρὰ τοῦ Ὁμήρου ὁ Θεστορίδης ἐγράψατο, διενοήθη ἐκ τῆς Φωκαίης ἀπαλλάσσεσθαι, τὴν ποίησιν θέλων τοῦ Ὁμήρου ἐξιδιώσασθαι, καὶ οὐκ ἔτι ὁμοίως ἐν ἐπιμελείᾳ εἶχε τὸν Ὅμηρον. ὁ δὲ λέγει αὐτῷ τὰ ἔπεα τάδε·

Θεστορίδης θνητοῖσιν ἀνωΐστων πολέων περ,
οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.

ὁ μὲν δὴ Θεστορίδης ἐκ τῆς Φωκαίης ἀπηλλάγη ἐς τὴν Χίον καὶ διδασκαλίην κατεσκευάσατο· καὶ τὰ ἔπεα ἐπιδεικνύμενος ὡς ἑωυτοῦ ἐόντα ἔπαινόν τε πολλὸν εἶχε καὶ ὠφελεῖτο· ὁ δὲ Ὅμηρος πάλιν τὸν αὐτὸν τρόπον διῃτᾶτο ἐν τῇ Φωκαίῃ, ἀπὸ τῆς ποιήσιος τὴν βιοτὴν ἔχων.

*ιζ'*. Χρόνῳ δὲ οὐ πολλῷ μετέπειτα ἄνδρες Χῖοι ἔμποροι ἀπίκοντο ἐς τὴν Φωκαίην· ἀκούσαντες δὲ τῶν ἐπέων τοῦ Ὁμήρου ἃ πρότερον ἀκηκόεσαν πολλάκις ἐν τῇ Χίῳ τοῦ Θεστορίδεω, ἐξήγγελλον Ὁμήρῳ ὅτι ἐν τῇ Χίῳ τις ἐπιδεικνύμενος τὰ ἔπεα ταῦτα γραμμάτων διδάσκαλος κάρτα πολλὸν ἔπαινον

201 ποιητέα . . . 203 παρὰ om. P$^{9}$ ἀκούσαντι ἃ ἔδοξε τῶ θεστοριδη ποιεῖ V$^{1}$ 202 ἦν] εἶναι A$^{2}$ Bm$^{2}$ Li M$^{2}$ O$^{2}$ P$^{10}$ Pal.$^{1}$ τῶν ἀναγκαίων πάντων Ma$^{1}$ 203 marg. sup. Ma$^{2}$ καὶ ἡ δοκοῦσα ἀρχαία ἰλιὰς ἐξ ἑλικῶνος μούσας ἀείδω καὶ ἀπόλλωνα κλυτότοξον v. Nicanorem et Cratetem ἐν Διορθωτικοῖς ap. cod. bibl. Vict. Em. 6 s. ix (Osann. Anecd. Rom. 1851. 5) ποιεῖν P$^{3}$ ἧς ἡ ἀρχὴ ποιά δε Ma$^{1}$ : ἧς ἐστιν ἀρχὴ P$^{10}$ V$^{1}$ : ἧς ἐστιν ἡ ἀρχὴ A$^{2}$ 204 ἐΰπωλον] ἄπολον Ma$^{4}$ 205 πόλλ' ἔπαθον codd. praeter P$^{9}$ : πολλὰ ἔπαθον P$^{10}$ 206 φωκίδα Ma$^{1}$ : φωκιδα (ss. αΐ) M$^{2}$ 208 πάντα om. Ma$^{1}$ τὰ ὁμήρου V$^{1}$ ὁ θεστορίδης om. V$^{1}$ 212 θεστορίδη O$^{2}$ : -ης cet. ἀπροσδοκήτων ἢ ἀνυπονοήτων P$^{9}$ ss. θνηταῖσιν M$^{2}$ 213 νόον A$^{2}$ Bm$^{2}$ Li M$^{2}$ Ma$^{1}$ corr., O$^{2}$ 215 διδασκαλεῖον Ma$^{1}$ : τὴν διδασκαλίην P$^{10}$ 216 ἑαυτοῦ O$^{2}$ ὄντα M$^{2}$ ὠφελοῖτο M$^{2}$ 218 ποιήσεως V$^{1}$ 219 ἔμπειροι P$^{9}$ 222 ἐξήγγειλον Bm$^{4}$ ὁμήρῳ om. praeter Bm$^{4}$ codd. τῇ χίω A$^{2}$ Bm$^{2}$ M$^{2}$ : τῇ om. cet. 223 ὠφέλημα κάρτα πολλὸν O$^{2}$

ἔχει. ὁ δὲ Ὅμηρος κατενόησεν ὅτι Θεστορίδης ἂν εἴη, καὶ παντὶ θυμῷ ἐσπούδαζεν εἰς τὴν Χίον ἀπικέσθαι. καταβὰς δὲ ἐπὶ τὸν λιμένα, ἐς μὲν τὴν Χίον οὐ καταλαμβάνει οὐδὲν πλοῖον πλέον, ἐς δὲ τὴν Ἐρυθραίην τινες ἐπὶ ξύλου παρεσκευάζοντο πλεῖν. καλῶς δὲ εἶχε τῷ Ὁμήρῳ δι' Ἐρυθραίης τὸν πλοῦν ποιήσασθαι. καὶ προσελθὼν ἐχρήϊζε παρὰ τῶν ναυτέων δέξασθαι αὐτὸν σύμπλουν, πολλά τε καὶ προσαγωγὰ λέγων οἷς σφέας ἔμελλε πείσειν. τοῖς δὲ ἔδοξε δέξασθαι αὐτόν, καὶ ἐκέλευον ἐσβαίνειν εἰς τὸ πλοῖον. ὁ δὲ Ὅμηρος πολλὰ ἐπαινέσας αὐτοὺς ἐσέβη· καὶ ἐπεὶ ἕζετο λέγει τὰ ἔπεα τάδε·

κλῦθι Ποσειδάων μεγαλοσθενὲς ἐννοσίγαιε,
εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ Ἑλικῶνος,
δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἰδέσθαι
ναύταις, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοὶ ἔασι.
δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο Μίμαντος
αἰδοίων μ' ἐλθόντα βροτῶν ὁσίων τε κυρῆσαι,
φῶτά τε τισαίμην ὃς ἐμὸν νόον ἠπεροπεύσας
ὠδύσατο Ζῆνα ξένιον ξενίην τε τραπέζην.

ιη'. Ἐπεὶ δὲ ἀπίκοντο εὐπλοήσαντες ἐς τὴν Ἐρυθραίην, τότε μὲν Ὅμηρος τὴν αὖλιν ἐπὶ τῷ πλοίῳ ἐποιήσατο· τῇ δὲ ὑστεραίῃ ἐχρήϊζε τῶν ναυτέων τινα ἡγήσασθαι αὐτῷ ἐς τὴν πόλιν· οἱ δὲ συνέπεμψαν ἕνα αὐτῶν. πορευόμενος δὲ

227 *ἐρυθραίην* O$^2$ P$^3$ : *ἐρυθράν* Bm$^4$ P$^4$ : *-αίαν* cet. *ξύλα* Bm$^4$ Ma$^1$ P$^4$ P$^{10}$ P$^{12}$ V$^1$ : *ξύλον* M$^2$ 228 *ἐρυθραίων* A$^2$ Bm$^2$ P$^{11}$ V$^1$ : *δι' ἐρυθραίης* om. Ma$^1$ 229 *παρὰ* om. Ma$^1$ V$^1$ 230 *σύμπλουν . . .* 232 *αὐτόν* om. V$^1$ add. interlin. *αὐτὸν σύμπλουν ποιήσασθαι* Ma$^1$ Ma$^4$ (*πείσασθαι*) 233 *ἵζετο* A$^2$ Ma$^1$ P$^9$ P$^{12}$ 235 *ποσείδαον* Bm$^2$ M$^2$ Ma$^4$ (ex *-ων*) P$^{10}$ Suid. 120 *εἰνοσίγαιε* V$^2$ 236 *ξανθοῦ*] *ζαθέου* Ruhnken 237 *καὶ*] *ἰδ'* V$^2$ *ἀρέσθαι* Suidas 122 : *ἰδέσθαι* (ss. *εὑρέ*) Ma$^4$, cf. *α* 21 240 *αἰδοῖον* codd. (P$^9$ corr.) *μετελθόντα* Ma$^1$, Ma$^4$ corr. Suidas 125 *τε* Li P$^9$ P$^{11}$: *γε* cet. 241 *ὑπεροπεύσας* A$^2$ Bm$^4$ Ma$^4$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ 242 *ὠδίσατο* P$^9$ *τράπεζιν* ex *-αν* Ma$^4$ : *-αν* Li : *-ην* cet. *ξενίοιο διὸς σέβας ὑψιμέδοντος* Suidae codd. BE v. 127 243 *εὐπλοιήσαντες* V$^1$ : *εὐπλοΐσ-* Ma$^1$ 244 *μὲν* om. praeter Bm$^4$ P$^3$ P$^{10}$ P$^{11}$ codd. *αὖλιν* Li M$^2$ O$^2$ P$^9$ P$^{11}$ Pal. : *αὐλὴν* cet. *τὸ πλοῖον* Ma$^1$ 245 *αὐτῶ* Bm$^4$ Ma$^1$ P$^3$ P$^9$ P$^{11}$ : *αὐτῶν* cet. : *αὐτῷ εἰς τὴν πόλιν* Ma$^1$

Ὅμηρος ἐπεὶ ἔτυχε τῆς Ἐρυθραίης τραχείης καὶ ὀρεινῆς ἐούσης, φθέγγεται τάδε τὰ ἔπεα·

πότνια γῆ, πάνδωρε δότειρα μελίφρονος ὄλβου,
ὡς ἄρα δὴ τοῖς μὲν φωτῶν εὔοχθος ἐτύχθης,
τοῖσι δὲ δύσβωλος καὶ τρηχεῖ' οἷς ἐχολώθης.

ἀπικόμενος δὲ ἐς τὴν πόλιν τῶν Ἐρυθραίων ἐπηρώτησε περὶ τοῦ ἐς τὴν Χίον πλοῦ· καί τινος προσελθόντος αὐτῷ τῶν ἑωρακότων ἐν τῇ Φωκαίῃ καὶ ἀσπασαμένου, ἐχρήϊζεν αὐτοῦ συνεξευρεῖν αὐτῷ πλοῖον ὅπως ἂν εἰς τὴν Χίον διαβαίη.

ιθ'. Ἐκ μὲν δὴ τοῦ λιμένος οὐδὲν ἦν ἀπόστολον, ἄγει δὲ αὐτὸν ἔνθα τῶν ἁλιέων τὰ πλοῖα ὁρμίζεται. καί πως ἐντυγχάνει μέλλουσί τισι διαπλεῖν ἐς τὴν Χίον, ὧν ἐδέετο προσελθὼν ὁ ἄγων αὐτὸν ἀναλαβεῖν τὸν Ὅμηρον. οἱ δὲ οὐδένα λόγον ποιησάμενοι ἀνήγοντο· ὁ δὲ Ὅμηρος φθέγγεται τάδε τὰ ἔπεα·

ναῦται ποντοπόροι στυγερῇ ἐναλίγκιοι ἄτῃ,
πτωκάσιν αἰθυίῃσι βίον δύσζηλον ἔχοντες,
αἰδεῖσθε ξενίοιο Διὸς σέβας ὑψιμέδοντος·
δεινὴ γὰρ μέτ' ὄπις ξενίου Διός, ὅς κ' ἀλίτηται.

ἀναχθεῖσι δὲ αὐτοῖς συνέβη ἐναντίου ἀνέμου γενομένου παλινδρομῆσαι καὶ ἐς τὸ χωρίον ἀναδραμεῖν ὅθεν ἀνηγάγοντο καὶ τὸν Ὅμηρον ἀναλαβεῖν καθήμενον ἐπὶ τῆς κυματωγῆς. μαθὼν δὲ αὐτοὺς πεπαλινδρομηκότας ἔλεξε τάδε·

247 τρηχείης Bm[4] P[10] V[1] τε καὶ Bm[4] O[4] P[11] 249 om. Bm[4] Ma[1] Ma[4] P[3] P[11], add. Ma[1] Ma[4] marg. 250 τοῖο pro τοῖς E[1] P[9] φωτὸς E[1] P[9] V[1] : om. Bm[4] Ma[4] P[3] P[11] 253 χίον e πεῖον uv. V[1] 254 φώκῃ A[1] P[9] : φωκίδϊ Bm[4] : φωκίδῃ P[4] : φωκίδϊ[illegible] P[12] ἀσπασάμενος Ma[1] αὐτὸν P[9] 255 αὐτῷ om. Ma[1] P[9] V[1] : αὐτὸν Bm[4] P[4] P[10] P[12] 257 ἐπιτυχών τισι μέλλουσι πλεῖν εἰς Χίον Suid. 128 262 ἐναλίγκιον M[2] ἄτῃ] αἴσῃ Suidas 131, cf. 173 263 πτωχεῦσιν E[1] P[9] V[1] : πτωχάσιν cet. : πτωκάσιν Suidas 132 αἰθυίοισι P[9] : -είησι M[2] Ma[4] corr., P[10] : -είυισι V[1] : -ίησι A[2] βίον (ss. ἢ ἰόν) Ma : ἰὸν Suid. 132 264 αἰδεῖσθαι Bm[4] Suidae codd. praeter A C 265 δεινός (ss. ή) Ma[1] : δεινὸς Suidae O[3] Ma[4] corr. μέτ' ὄπις Barnes : μετ' ὄπις Bm[2] : γὰρ μετ' ὀπ ξενίου Bm[4] : μέτοπις codd. cet. praeter Ma[1] Ma[4] Suidae O[3] qui μετόπισθε (μετ' ὄπισθε Ma[4] corr.), μετόπισθεν ὄπις Suid. 134 267 ἠγάγοντο V[1] 268 ἐπικαθήμενον P[9] : ἐπιτήμενον Bm[4] P[8] 269 -δραμηκότας Bm[2] M[2] O[2] : παλινδρομ. αὐτοὺς Ma[1]

Ὑμᾶς, ὦ ξένοι, ἔλαβεν ὁ ἄνεμος ἀντίος γενόμενος· ἀλλ' ἔτι καὶ νῦν με δέξασθε, καὶ ὁ πλοῦς ὑμῖν ἔσται. οἱ δ' ἁλιεῖς ἐν μεταμελίῃ γενόμενοι ὅτι οὐ πρότερον ἐδέξαντο, εἰπόντες ὅτι οὐ καταλιμπάνουσιν ἣν ἐθέλοι συμπλεῖν ἐκέλευον ἐσβαίνειν· καὶ οὕτως ἀναλαβόντες αὐτὸν ἀνήχθησαν καὶ ἴσχουσιν ἐπ' ἀκτῆς.

κʹ. Οἱ μὲν δὴ ἁλιεῖς πρὸς ἔργον ἐτράπησαν. ὁ δὲ Ὅμηρος τὴν μὲν νύκτα ἐπὶ τοῦ αἰγιαλοῦ κατέμεινε, τὴν δὲ ἡμέραν πορευόμενος καὶ πλανώμενος ἀπίκετο εἰς τὸ χωρίον τοῦτο ὃ Πίτυς καλέεται. κἀνταῦθα αὐτῷ ἀναπαυομένῳ τὴν νύκτα ἐπιπίπτει καρπὸς τῆς πίτυος, ὃν δὴ μετεξέτεροι στρόβιλον, οἱ δὲ κῶνον καλέουσιν. ὁ δὲ Ὅμηρος φθέγγεται τὰ ἔπεα τάδε·

ἄλλη τίς σου πεύκη ἀμείνονα καρπὸν ἵησιν
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης,
ἔνθα σίδηρος Ἄρηος ἐπιχθονίοισι βροτοῖσιν
ἔσσεται εὖτ' ἄν μιν Κεβρήνιοι ἄνδρες ἔχωσι.

τὰ δὲ Κεβρήνια τοῦτον χρόνον κτίζειν οἱ Κυμαῖοι παρεσκευάζοντο πρὸς τῇ Ἴδῃ, καὶ γίνεται αὐτόθι σίδηρος.

καʹ. Ἐντεῦθεν δ' ἀναστὰς Ὅμηρος ἐπορεύετο κατὰ φωνήν τινα αἰγῶν νεμομένων. ὡς δὲ ὑλάκτεον αὐτὸν οἱ κύνες ἀνέκραγεν. ὁ δὲ Γλαῦκος ὡς ἤκουσε τῆς φωνῆς, ἦν γὰρ τοῦτο ὄνομα τῷ νέμοντι τὰς αἶγας, ἐπέδραμεν ὀτραλέως, τάς τε κύνας ἀνεκαλεῖτο καὶ ἀπεσόβησεν ἀπὸ τοῦ Ὁμήρου. ἐπὶ πολὺν δὲ χρόνον ἐν θωύματι ἦν ὅκως τυφλὸς ἐὼν μόνος ἀπίκοιτο ἐς τοιούτους χώρους, καὶ ὅτι θέλων. προσελθών

271 *ὑμῖν ὁ πλοῦς* Ma$^1$ 272 *καὶ πρότερον* Bm$^4$ P$^3$ P$^9$ P$^{11}$ 273 *ἐθέλη* O$^2$ V$^1$ 276 *μὲν* hab. P$^4$ P$^8$ P$^{10}$ P$^{12}$ fort. al. 277 *μὲν* om. praeter Bm$^2$ Bm$^4$ P$^3$ P$^9$ P$^{11}$ codd. *πολευόμενος* A$^2$ Bm$^2$ Li M$^2$ O$^2$ P$^{10}$ 278 *τοῦτο* om. praeter Bm$^4$ P$^9$ codd. 280 *στρόβυλον* Ma$^1$ 281 *καλοῦσιν* Suid. 136 282 *ἀνήσει* Ma$^1$ : *ἵησιν* (ss. *ἀν*), marg. *ἢ ἀνήσοι* Ma$^2$ : *ἀνήσοι* Suid. 138 (*-ει* cod. E) 283 *πολύπτυχον* M$^2$ 284 *ἄρηος*] *ἄριστος* Ma$^1$ Suidas 140 : *ἄρηος* (ss. *ιστος*) Ma$^2$ 287 *σίδηρος πολὺς* Bm$^4$ Ma$^1$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ 288 *ἐνθεῦτεν* P$^4$ δ' om. praeter P$^9$ codd. 290 *ὡς δὲ ἤκουσε ὁ γλαῦκος τῆς φωνῆς* Ma$^1$ P$^4$ P$^{12}$ 291 *τούτω* P$^{10}$ 293 *ὅπως* Bm$^4$ V$^1$ : *πῶς* (ss. *ὅκως*) Ma$^1$ *ὢν* codd. praeter Bm$^2$ P$^3$ P$^9$ 294 *ἐς τοιούτους . . .* 295 *ἀπίκοιτο* om. Ma$^1$ add. marg.

τέ μιν ἱστορέειν ὅστις τε ἦν καὶ τίνι τρόπῳ ἀπίκοιτο ἐς τόπους ἀοικήτους καὶ ἀστιβέα χωρία, καὶ τίνος κεχρημένος εἴη. ὁ δὲ Ὅμηρος αὐτῷ πᾶσαν τὴν ἑωυτοῦ πάθην καταλεγόμενος εἰς οἶκτον προηγάγετο. ἦν γάρ, ὡς ἔοικεν, οὐδ' ἀγνώμων ὁ Γλαῦκος. ἀναλαβὼν δ' αὐτὸν ἀνήγαγεν ἐπὶ τὸν σταθμόν, πῦρ τ' ἀνακαύσας δεῖπνον παρασκευάζει, καὶ παραθεὶς δειπνεῖν ἐκέλευεν ὁ Γλαῦκος.

κβ'. Τῶν δὲ κυνῶν μὴ ἐσθιόντων καὶ ὑλακτούντων δειπνοῦντας καθάπερ εἰώθεσαν λέγει πρὸς τὸν Γλαῦκον Ὅμηρος τὰ ἔπεα τάδε·

Γλαῦκε πέπων, ἐπιών τοι ἔπος τι ἐνὶ φρεσὶ θήσω·
πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσι
δοῦναι· ὣς γὰρ ἄμεινον· ὃ γὰρ καὶ πρῶτον ἀκούει
ἀνδρὸς ἐπερχομένου καὶ ἐς ἕρκεα θηρὸς ἰόντος.

ταῦτα ἀκούσας ὁ Γλαῦκος ἥσθη τῇ παραινέσει, καὶ ἐν θωύματι εἶχεν αὐτόν, δειπνήσαντες δὲ διὰ λόγων εἱστιῶντο. ἀπηγεομένου δὲ Ὁμήρου τήν τε πλάνην τὴν ἑωυτοῦ καὶ τὰς πόλεις ἃς ἐσαπίκοιτο, ἔκπληκτος ἦν ὁ Γλαῦκος ἀκούων. καὶ τότε μὲν ἐπεὶ ὥρη κοίτου ἦν ἀνεπαύετο.

κγ'. Τῇ δ' ὑστεραίῃ διενοήθη ὁ Γλαῦκος πρὸς τὸν δεσπότην πορευθῆναι, σημανέων τὰ περὶ Ὁμήρου. ἐπιτρέψας δὲ τῷ συνδούλῳ νέμειν τὰς αἶγας τὸν Ὅμηρον καταλείπει ἔνδον, εἰπὼν πρὸς αὐτὸν ὅτι διὰ ταχέων πορεύσομαι. καταβὰς δὲ ἐς Βολισσόν, ἔστι δὲ πλησίον τοῦ χωρίου τούτου, καὶ συγ-

295 *ἱστόρεον* M$^2$ 297 *ἑαυτοῦ* A$^2$ Bm$^2$ Ma$^1$ O$^2$ P$^{11}$ V$^1$ : *αὐτοῦ* Bm$^4$ P$^3$ P$^{11}$ 300 *τε* Bm$^4$ Li M$^2$ O$^2$ P$^4$ P$^9$ P$^{11}$ Pal. : *τὲ* Bm$^2$ : *δὲ* cett. 302 *μὴ ἐσθιόντων*] *ἑστώτων* Suid. 142 *δειπνοῦντα* codd. praeter Bm$^4$ P$^3$ P$^9$ 305 *πέπον* A$^2$ E$^1$ Ma$^1$ Ma$^2$ O$^2$ P$^4$ V$^1$ *τοι* Bm$^4$ E$^1$ Li Ma$^1$ Ma$^2$ P$^{11}$ V$^1$ : *τὸ* Bm$^2$ O$^2$ P$^9$ : *τι* P$^3$ P$^8$ : *ἔπος τὸ* A$^1$ M$^2$ *τι τοι* Li P$^9$ P$^{11}$ : *τι σοι* Suid. *ἐν* V$^1$ Suidas : *ἐνὶ* cet. *ἢ γλαῦκε βροτῶν ἐπιόπτα* marg. Ma$^1$ Ma$^2$ : ita Suidas 144 : *βοτῶν* Kuester *τί σοι ἐν φρεσὶ* Suid. 131 306 *αὐλείοισι* Herod. codd. plerique 307 *τὼς* Suid. 146 *πρόσθεν* Suid. ib. 308 *ἐόντος* Ma$^2$ P$^{11}$ 312 *ἀπίκοιτο* M$^2$ : *ἐσαπίκετο* Bm$^4$ Ma$^1$ P$^4$ P$^{12}$ V$^1$ *ἐσακούων* Li M$^2$ O$^2$ Pal.$^1$ P$^9$ *καὶ τότε μὲν* om. P$^{10}$ 313 *ἀνέπαυε* Li M$^2$ O$^2$ P$^8$ Pal.$^1$ 314 *ὑστερέα* Bm$^4$ P$^4$ *καὶ διεν.* P$^{10}$ 315 *περὶ*] *ὑπὲρ τοῦ* Bm$^4$ P$^3$ P$^9$

γενόμενος τῷ δεσπότῃ, ἀπηγέετο ὑπὲρ Ὁμήρου πᾶσαν τὴν ἀλήθειαν, περί τε αὐτοῦ τῆς ἀφίξιος ἐν θωύματι ποιεύμενος· ἠρώτεέ τε ὅ τι χρὴ ποιέειν περὶ αὐτοῦ. ὁ δὲ ὀλίγα μὲν προσίετο τῶν λόγων, κατεγίνωσκε δὲ τοῦ Γλαύκου ὡς ἄφρονος ἐόντος καὶ τοὺς ἀναπήρους δεχομένου καὶ τρέφοντος. ἐκέλευσε δὲ ὅμως τὸν ξεῖνον ἄγειν πρὸς ἑαυτόν.

κδʹ. Ἐλθὼν δὲ πρὸς τὸν Ὅμηρον διηγήσατο ταῦτα ὁ Γλαῦκος καὶ ἐκέλευσε πορεύεσθαι τοῦτον· οὕτω γάρ εὖ πρήξειν· ὁ δὲ Ὅμηρος ἤθελε πορεύεσθαι. ἀναλαβὼν οὖν αὐτὸν ὁ Γλαῦκος ἤγαγε πρὸς τὸν δεσπότην. διὰ λόγων δὲ ἰὼν τῷ Ὁμήρῳ ὁ Χῖος, εὑρίσκει ἐόντα δεξιὸν καὶ πολλῶν ἔμπειρον. ἔπειθέ τε αὐτὸν μένειν καὶ τῶν παιδίων ἐπιμέλειαν ποιέεσθαι· ἦσαν γὰρ τῷ Χίῳ παῖδες ἐν ἡλικίῃ. τούτους οὖν αὐτῷ παρατίθησι παιδεύειν. ὁ δὲ ἔπρησσε ταῦτα· καὶ τοὺς Κέρκωπας καὶ Βατραχομυομαχίαν καὶ Ψαρομαχίην καὶ Ἑπταπακτικὴν καὶ Ἐπικιχλίδας καὶ τἄλλα πάντα ὅσα παίγνιά ἐστιν Ὁμήρου ἐνταῦθα ἐποίησε παρὰ τῷ Χίῳ ἐν Βολισσῷ, ὥστε καὶ ἐν τῇ πόλει περιβόητος ἤδη ἐγένετο ἐν τῇ ποιήσει. καὶ ὁ μὲν Θεστορίδης, ὡς τάχιστα ἐπύθετο αὐτὸν παρεόντα, ᾤχετο ἐκπλέων ἐκ τῆς Χίου.

κεʹ. Χρόνου δὲ προιόντος δεηθεὶς τοῦ Χίου πορεῦσαι αὐτὸν εἰς τὴν Χίον ἀπίκετο εἰς τὴν πόλιν· καὶ διδασκαλεῖον κατασκευασάμενος ἐδίδασκε παῖδας τὰ ἔπεα. καὶ κάρτα δεξιὸς

319 ἀπηγεῖτο Ma$^1$ P$^4$ P$^{12}$ V$^1$ ὑπὲρ] περὶ Bm$^4$ P$^9$ P$^{11}$ 320 ἀπίξεως P$^9$ V$^1$: ἀφίξιος O$^2$ 321 ἐρωτᾶ Bm$^4$ P$^{10}$: ἠρώτα Bm$^2$ M$^2$ O$^2$: ἠρώτετε (ss. έ) P$^{11}$: ἐρώτεε cet. αὐτὸν P$^4$ P$^8$ 323 καὶ om. P$^9$ καὶ . . . 326 γλαῦκος om. Li ἐκέλευε M$^2$ Ma$^1$ Pal.$^1$ 324 ἄγειν τὸν ξεῖνον V$^1$ 325 ὁ γλαῦκος διηγήσατο ταῦτα A$^2$ V$^1$ 326 αὐτὸν πορεύεσθαι Bm$^4$ P$^9$ 330 αὐτόθι μένειν Suid. 101 332 παρατίθεται P$^9$ ἔπρασσε Suid. 102 κέκωπας (ss. ρ) O$^2$ 333 βατραχομαχίαν P$^9$: τὴν μυοβατραχομαχίαν Suid. 102 καὶ ψαρ. καὶ ἑπτ. hab. Bm$^4$ Ma$^1$ Ma$^4$ P$^9$ P$^{11}$ Suid. 102 (ἑπταπάκτιον) om. cett. ἢ ἑπτάκιον Ma$^1$ ss. (cf. Suid.) ἐν ἄλλῳ ἠθιέπακτον ἤτι ἴαμβον Ma$^1$ marg. ἐντεπάκτιον vit. Procul. 63: ἑπταπάκτιον Suid. 103: ἠθιέπακτος Suid. 45 334 ἐπικϋχλίδας A$^2$: -κικλίδας Bm$^4$ P$^3$ P$^{11}$ ἄλλα Suid. 104 πάντα om. Suid. 104 335 ἐνταῦθα om. Suid. 93 μολισσῷ (ss. βο) O$^2$ 336 ἐν τῇ A$^2$ O$^2$ P$^{10}$: τῇ cet. ἐγίνετο Bm$^4$ 339 περιϊόντος Ma$^1$ 340 παρασκευασάμενος V$^1$

*ἐδόκεεν εἶναι τοῖς Χίοις, καὶ πολλοὶ θωυμασταὶ αὐτοῦ καθειστήκεσαν. συλλεξάμενος δὲ βίον ἱκανὸν γυναῖκα ἔγημεν ἐξ ἧς αὐτῷ θυγατέρες δύο ἐγένοντο· καὶ ἡ μὲν αὐτῶν ἄγαμος ἐτελεύτησε, τὴν δὲ συνῴκισεν ἀνδρὶ Χίῳ.*

*κϛʹ. Ἐπιχειρήσας δὲ τῇ ποιήσει ἀπέδωκε χάριν ἣν εἶχε, πρῶτον μὲν Μέντορι τῷ Ἰθακησίῳ ἐν τῇ Ὀδυσσείᾳ, ὅτι μιν κάμνοντα τοὺς ὀφθαλμοὺς ἐν Ἰθάκῃ ἐνοσήλευεν ἐκτενέως, τοὔνομα αὐτοῦ ἐναρμόσας ἐς τὴν ποίησιν Ὀδυσσέως τε ἑταῖρον φὰς εἶναι, ποιήσας Ὀδυσσέα ὡς ἐς Τροίην ἔπλεε Μέντορι ἐπιτρέψαι τὸν οἶκον ὡς ἐόντι Ἰθακησίων ἀρίστῳ καὶ δικαιοτάτῳ. πολλαχῇ δὲ καὶ ἄλλῃ τῆς ποιήσεως τιμῶν αὐτόν, τὴν Ἀθηνᾶν ὁπότε ἐς λόγον τινι καθίσταιτο τῷ Μέντορι οἰκυίην ποιεῖ. ἀπέδωκε δὲ καὶ Φημίῳ τῷ ἑαυτοῦ διδασκάλῳ τροφεῖα καὶ διδασκαλεῖα ἐν τῇ Ὀδυσσείῃ, μάλιστα ἐν τοῖσδε τοῖς ἔπεσι*

> *κῆρυξ δ᾽ ἐν χερσὶν κίθαριν περικαλλέ᾽ ἔθηκε*
> *Φημίῳ, ὃς δὴ πολλὸν ἐκαίνυτο πάντας ἀείδων.*

*καὶ πάλιν*

> *αὐτὰρ ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.*

342 *κατεδόκεεν* Bm$^{4}$ P$^{9}$ V$^{1}$ : *καταδόκεεν* P$^{3}$ P$^{11}$ *αὐτοῦ θωυμασταὶ* V$^{1}$ : *αὐτὸν θ.* Bm$^{4}$ 343 marg. Ma$^{1}$ Ma$^{4}$ *ἤγουν ἀρησιφόνην τὴν Γνώτορος τοῦ Κυμαίου θυγατρός.* (hucusque Ma$^{4}$) *ἐξ ἧς ἔσχε δύο υἱεῖς· Ἐριφῶντα καὶ Θεόλαον. καὶ μίαν θυγατέρα ἣν ἔγημε σταςῖνος ὁ κύπριος.* marg. sup. Ma$^{4}$ *εὗρον ἀλλαχοῦ αὐτὸν γενῆσαι δύο υἱεῖς ἐρίφωντα καὶ θεόλαον καὶ μίαν θυγατέρα.* e Suida 34, 35 desumpsit Lascaris 344 *αὐτέων* A$^{2}$ V$^{1}$ 345 *συνώκησαν* V$^{1}$ *ἀνδρὶ χίω* (ss. *ἤγουν στασίῳ τῷ κυπρίω*) Ma$^{1}$ : *ἢ στασίνω τῷ κυπρίω* Ma$^{2}$ marg. 346 sqq. cit. Eusth. 1396. 13 *ὅτι ὁ τῆς ἱστορίας Μέντης Ἀγχιάλοιο πάϊς ἑταῖρος ἦν τῷ ποιητῇ, ὃν καὶ ἀμειβόμενος τῆς φιλίας ὁ ποιητὴς ὡς Ἡρόδοτος ἱστορεῖ ἐν τοῖς περὶ Ὁμήρου γενέσεως τῇ ποιήσει τε τὸ αὐτοῦ ὄνομα ἐνέθετο καὶ τὴν Ἀθηνᾶν αὐτῷ εἴκασεν* 348 *ἐνοσήλευεν* Li M$^{2}$ O$^{2}$ P$^{9}$ P$^{11}$ Pal.$^{1}$ : *-ευσεν* cet. *ἐκτενῶς* Bm$^{2}$ O$^{2}$ P$^{10}$ 350 *ἑταῖρος* Bm$^{4}$ P$^{9}$ 351 *ἐπιτρέψας* P$^{4}$ P$^{12}$ *ὡς* om. praeter Bm$^{4}$ P$^{4}$ P$^{9}$ codd. 352 *τῇ ποιήσει* Ma$^{1}$ 353 *καθίσταται* A$^{2}$ Bm$^{2}$ M$^{2}$ O$^{2}$ P$^{10}$ : *-ηται* Bm$^{4}$ Ma$^{1}$ P$^{4}$ P$^{9}$ V$^{1}$ : corr. West. 354 *οἰκυίην* P$^{9}$ : *εἰκυίην* A$^{2}$ Bm$^{2}$ M$^{2}$ O$^{2}$ P$^{10}$ : *οἰκείαν* Bm$^{4}$ Ma$^{1}$ : *ἐοικυῖαν* V$^{1}$ : *εἰκεῖαν* P$^{3}$ P$^{11}$ 355 *ὀδυσσείῃ* Bm$^{2}$ Li M$^{2}$ P$^{11}$ Pal.$^{1}$ : *-είᾳ* cet. 357, 358 = α 153, 154 ubi codices *Φημίῳ ὅς ῥ᾽ ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ* 358 *ὅστε* codd. praeter P$^{9}$ *πολλῶν* (ss. *ον*) P$^{3}$ 360 = α 155 ubi codd. *ἦτοι*

μέμνηται δὲ καὶ τοῦ ναυκλήρου μεθ᾽ οὗ ἐκπεριέπλευσε καὶ εἶδε πόλιάς τε πολλὰς καὶ χώρας, ᾧ ὄνομα ἦν Μέντης, ἐν τοῖς ἔπεσι τοῖσδε

Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.

ἀπέδωκε δὲ χάριν καὶ Τυχίῳ τῷ σκυτεῖ, ὃς ἐδέξατο αὐτὸν ἐν τῷ Νέῳ τείχει προσελθόντα πρὸς τὸ σκυτεῖον, ἐν τοῖς ἔπεσι καταζεύξας ἐν τῇ Ἰλιάδι τοῖσδε

Αἴας δ᾽ ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον,
χάλκεον ἑπταβόειον, ὅ οἱ Τυχίος κάμε τεύχων,
σκυτοτόμων ὄχ᾽ ἄριστος Ὕλῃ ἔνι οἰκία ναίων.

κζʹ. Ἀπὸ δὲ τῆς ποιήσεως ταύτης εὐδοκιμεῖ Ὅμηρος περί τε τὴν Ἰωνίην καὶ ἐς τὴν Ἑλλάδα ἤδη περὶ αὐτοῦ λόγος ἀναφέρετο· κατοικέων δὲ ἐν τῇ Χίῳ καὶ εὐδοκιμέων περὶ τὴν ποίησιν, ἀπικνεομένων πολλῶν πρὸς αὐτόν, συνεβούλευον οἱ ἐντυγχάνοντες αὐτῷ ἐς τὴν Ἑλλάδα ἀπικέσθαι· ὁ δὲ προσεδέξατο τὸν λόγον καὶ κάρτα ἐπεθύμει ἀποδημῆσαι.

κηʹ. Κατανοήσας δὲ ὅτι ἐς μὲν Ἄργος πολλαὶ καὶ μεγάλαι εἶεν εὐλογίαι πεποιημέναι, ἐς δὲ τὰς Ἀθήνας οὔ, ἐμποιεῖ ἐς τὴν ποίησιν, ἐς μὲν Ἰλιάδα τὴν μεγάλην Ἐρεχθέα μεγαλύνων ἐν νεῶν καταλόγῳ τὰ ἔπεα τάδε

δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ᾽ Ἀθήνη
θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα.

καὶ τὸν στρατηγὸν αὐτῶν Μενεσθέα αἰνέσας ὡς πάντων εἴη

361 ἐμπεριέπλευσε A$^2$ V$^1$ : ἔπλευσε Ma$^1$ 364, 365 = α 180, 181 364 εὔχομαι υἱὸς | εἶναι E$^1$ 365 αὐτὰρ Bm$^2$ M$^2$ P$^{10}$ 366 δὲ om. Bm$^2$ Li M$^2$ P$^{10}$ 369–371 = H 219–221 371 ναίων] νέμων Ma$^1$ 372 ποιήσιος P$^9$ : ποιήσεως (ss. ϊος) V$^1$ : -εως cet. εὐδοκίμει Ma$^1$ : -ιμεῖ cet. ἤδη ὅμηρος Bm$^4$ P$^3$ P$^9$ V$^1$ 373 τὴν om. Bm$^4$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ ἰωνίαν A$^2$ Bm$^2$ M$^2$ O$^2$ P$^{10}$ 374 ἀναφέρεται praeter Bm$^4$ P$^3$ P$^9$ P$^{10}$ P$^{11}$ codd. κατοικέων Bm$^4$ P$^3$ P$^9$ P$^{11}$ : καὶ οἰκ. cet. 375 ἀπικεομένων praeter Bm$^4$ P$^3$ P$^9$ P$^{11}$ codd. πρὸς αὐτὸν om. praeter Bm$^4$ P$^9$ codd. πολλῶν ἐς τὴν ἑλλάδα ἀπικεομένων συνεβούλευον οἱ ἐντυγχάνοντες τῷ ὁμήρῳ P$^3$ 376 αὐτῷ] τῶ ὁμήρω A$^1$ Bm$^4$ P$^{11}$ V$^1$ 380 τὴν ἰλιάδα P$^3$ 382, 383 = B 547, 548 382 ἀθηναίη Ma$^1$ : ἀθήνης P$^3$ P$^{11}$ 384 αὐτῶν] αὐτὸν L$^1$ P$^3$ P$^{11}$ V$^1$ τὸν μεν τὸν στρατηγὸν αὐτὸν V$^1$ αἰνέσας om. praeter Bm$^4$ P$^9$ P$^{11}$ codd.

ἄριστος τάξαι πεζὸν στρατὸν καὶ ἱππότας, ἐν τοῖσδε τοῖς ἔπεσιν εἶπε·

τῶν αὖθ' ἡγεμόνευ' υἱὸς Πετεῶο Μενεσθεύς.
τῷ δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.

Αἴαντα δὲ τὸν Τελαμῶνος καὶ Σαλαμινίους ἐν νεῶν καταλόγῳ ἔταξε πρὸς Ἀθηναίους, λέγων τάδε·

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

ἐς δὲ τὴν Ὀδυσσείην τάδε ἐποίησεν, ὡς Ἀθηνᾶ ἐς λόγους ἐλθοῦσα τῷ Ὀδυσσεῖ ἐς τὴν Ἀθηναίων πόλιν ἀπίκετο, τιμῶσα ταύτην τῶν ἄλλων πολλῷ μάλιστα

ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυχόρους ἐς Ἀθήνας,
δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον.

κθʹ. Ἐμποιήσας δὲ ἐς τὴν ποίησιν ταῦτα καὶ παρασκευασάμενος, ἐς Ἑλλάδα βουλόμενος ποιήσασθαι τὸν πλοῦν, προσίσχει τῇ Σάμῳ. ἔτυχον δὲ οἱ ἐκεῖσε τὸν τότε καιρὸν ἄγοντες ἑορτὴν Ἀπατούρια. καί τις τῶν Σαμίων ἰδὼν τὸν Ὅμηρον ἀπιγμένον, πρότερον αὐτὸν ὀπωπὼς ἐν Χίῳ, ἐλθὼν ἐς τοὺς φράτορας διηγήσατο, ὡς ἐν ἐπαίνῳ μεγάλῳ ποιεύμενος αὐτόν. οἱ δὲ φράτορες ἐκέλευον ἄγειν αὐτόν· ὁ δὲ ἐντυχὼν τῷ Ὁμήρῳ ἔλεξεν, ὦ ξένε Ἀπατούρια ἀγούσης τῆς πόλιος καλέουσί σε οἱ φράτορες οἱ ἡμέτεροι συνεορτάσοντα. ὁ δὲ Ὅμηρος ἔφη ταῦτα ποιήσειν καὶ ᾔει μετὰ τοῦ καλέσαντος.

385 πεζῶν M$^2$ ἱππότα V$^1$ : ἱππότην Ma$^1$ P$^{11}$ 386 εἶπας P$^{11}$ V$^1$ 387–389 = B 552–554 387 τῶνδ' V$^1$ ἡγεμόνευεν A$^2$ Bm$^2$ Li M$^2$ P$^{10}$ V$^1$ υἱὸς om. E$^1$ Ma$^1$ Ma$^2$ P$^3$ P$^9$ P$^{12}$ V$^1$ 388 τῶνδ' V$^1$ : τῶν P$^9$ 391 τάδε] ὧδε P$^9$ 392, 393 = B 557, 558 394 ἀθηνὰ A$^2$ 395 ἀφίκετο (ss. π) Bm$^2$ 396 πολλῷ A$^2$ Bm$^2$ O$^2$ P$^{11}$ : πόλεων Bm$^4$ P$^9$ P$^{11}$ V$^1$ : πολλῶν cet. 397, 398 = η 80, 81 397 εὐρυάγυιαν Ἀθήνην Odyssea : εὐρυχώρους M$^2$ P$^9$ 400 ποιήσασθαι βουλόμενος A$^2$ M$^2$ P$^3$ P$^9$ : ποιεῖσθαι codd. praeter A$^2$ Li M$^2$ P$^3$ P$^9$ P$^{11}$ Pal.$^1$ 403 ἀπιγμένον om. Ma$^1$ ὀπωπὼς Bm$^4$ P$^3$ P$^9$ P$^{11}$ : ἐπιστάμενος cet. 404 ὡς add. Ma$^1$ 406 ἔλεξεν αὐτῷ Bm$^4$ P$^4$ P$^{12}$ : αὐτὸν P$^{10}$ 408 ἴει A$^2$ : εἴη O$^2$ μετ' ἐκείνου τοῦ Ma$^1$

λ′. Πορευόμενος δὲ ἐγχρίμπτεται γυναιξὶ Κουροτρόφῳ θυούσαις ἐν τῇ τριόδῳ. ἡ δὲ ἱέρεια εἶπε πρὸς αὐτόν, δυσχεράνασα τῇ ὄψει, ἄνερ ἀπὸ τῶν ἱερῶν. ὁ δὲ Ὅμηρος ἐς θυμόν τε ἔβαλε τὸ ῥηθέν, καὶ ἤρετο τὸν ἄγοντα τίς τε εἴη ὁ φθεγξάμενος, καὶ τίνι θεῶν ἱερὰ θύεται. ὁ δὲ αὐτῷ διηγήσατο ὅτι γυνὴ εἴη Κουροτρόφῳ θύουσα. ὁ δ᾿ ἀκούσας λέγει τάδε τὰ ἔπεα·

κλῦθί μοι εὐχομένῳ Κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀνήνασθαι φιλότητα καὶ εὐνήν,
ἡ δ᾿ ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν ὥρη μὲν ἀπήμβλυνται, θυμὸς δὲ μενοινᾷ.

λα′. Ἐπεὶ δὲ ἦλθεν εἰς τὴν φρήτρην καὶ τοῦ οἴκου ἔνθα δὴ ἐδαίνυντο ἐπὶ τὸν οὐδὸν ἔστη, οἱ μὲν λέγουσι καιομένου πυρὸς ἐν τῷ οἴκῳ, οἱ δέ φασι τότε ἐκκαῦσαι σφᾶς, ἐπειδὴ Ὅμηρος τὰ ἔπεα εἶπεν

ἀνδρὸς μὲν στέφανος παῖδες, πύργοι δὲ πόληος,
ἵπποι δ᾿ ἐν πεδίῳ κόσμος, νῆες δὲ θαλάσσης,
χρήματα δ᾿ αὔξει οἶκον· ἀτὰρ γεραροὶ βασιλῆες
ἥμενοι εἰν ἀγορῇ κόσμος τ᾿ ἄλλοισιν ὁρᾶσθαι.
αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι.

410 ἔχριπτε Ma$^1$  414 θεῷ Ma$^1$  θύεται] θύουσιν Ma$^1$  417 420 Athen. 592 A Σοφοκλῆς δ᾿ ὁ τραγῳδιοποιὸς ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας· ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησὶν [417–420]· ταῦτα μέν ἐστιν ἐκ τῶν εἰς Ὅμηρον ἀναφερομένων. [P.L.G. ii. 248]  417 κλύε Ath.  μευ εὐχομένου Ath.  418 μὲν ἀνήνασθαι] ἀπανήνασθαι Suid. 108 : ἀναίνεσθαι Ath.  420 ὥρη] οὐραὶ Suid. 110 : ἰσχὺς Ath. : ὧραι (ss. ἢ οὐρὴ) Ma$^1$, ὥρη corr. in αι (ss. οὐραὶ) marg. : ἢ οὐραί Ma$^2$  ἀπαμβλύνεται A$^2$ Bm$^2$ M$^2$ O$^2$ P$^{10}$ : ἀπήμβληται E$^1$ V$^1$ : ἀπήμβλυνται Li R$^3$ Ath. Suid. 110 : ἀπάμβλυνται cet.  Eust. 1968. 40 ἀλλαχοῦ δὲ καὶ οὐρὰ τὸ αὐτὸ ἐφάνη λέγεσθαι, δηλοῖ δ᾿ αὐτὸ καὶ ὁ εἰπὼν ὡς τῶν γερόντων
οὐραὶ μὲν ἀπήμβλυνται θυμὸς δὲ μενοινᾷ
421 ἦλθεν] ἧκεν Suid. 111  422 ἐδαίνυυντο Bm$^2$ M$^2$ O$^2$ P$^{10}$ : -ητο P$^3$ : -υτο (ss. ν) P$^{11}$  425–429 Certamen 281–285 Suid. 113–117  425 παῖδες στέφανος Bm$^4$ E$^1$ Li Ma$^1$ Ma$^4$ P$^3$ : στέφανοι παῖδες Certamen : παῖδες στέφανος Suid. 113 (στέφανος codd. praeter A O$^3$)  δέ τε A$^2$ Bm$^4$ Li P$^{11}$  πόλιος A$^2$ Bm$^4$  426 δ᾿ αὖ πεδίου Certamen  δ᾿ ἐν θαλάσσῃ Ma$^1$ Ma$^2$ Suid. 114 (θαλάσσαις Suidae codd. A B C E)  427 αὔξοι E$^1$  v. om. Cert.  428 λαὸς δ᾿ εἰν ἀγορῆσι καθήμενος εἰσοράασθαι Cert.  post 429 add. ἤματι χειμερίῳ ὁπότ᾿ ἂν νείφῃσι Κρονίων Cert. 429 om. V$^2$ Suidae

εἰσελθὼν δὲ καὶ κατακλιθεὶς ἐδαίνυτο μετὰ τῶν φρατόρων· καὶ αὐτὸν ἐτίμων καὶ ἐν θωύματι εἶχον· καὶ τότε μὲν τὴν κοίτην αὐτοῦ ἐποιήσατο Ὅμηρος.

λβʹ. Τῇ δὲ εἰσαύριον ἀποπορευόμενον ἰδόντες κεραμέες τινες κάμινον ἐγκαίοντες κεράμου λεπτοῦ, προσεκαλέσαντο αὐτόν, πεπυσμένοι ὅτι σοφὸς εἴη· καὶ ἐκέλευόν σφιν ἀεῖσαι, φάμενοι δώσειν αὐτῷ τοῦ κεράμου καὶ ὅ τι ἂν ἄλλο ἔχωσιν. ὁ δὲ Ὅμηρος ἀείδει αὐτοῖς τὰ ἔπεα τάδε ἃ καλέεται Κάμινος·

εἰ μὲν δώσετε μισθὸν ἀείσω ὦ κεραμῆες·
δεῦρ' ἄγ' Ἀθηναίη καὶ ὑπείρεχε χεῖρα καμίνου,
εὖ δὲ μελανθεῖεν κότυλοι καὶ πάντα μάλευρα,
φρυχθῆναί τε καλῶς καὶ τιμῆς ὦνον ἀρέσθαι,
πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυιαῖς,
πολλὰ δὲ κερδῆναι, ἡμῖν δὲ δὴ ὥς σφι νοῆσαι.
ἢν δ' ἐπ' ἀναιδείην τρεφθέντες ψεύδε' ἄρησθε
συγκαλέω δ' ἤπειτα καμίνῳ δηλητῆρας,

430 ἐδαίννυτο $A^{2}$ $M^{2}$ $Ma^{1}$ $O^{2}$ 434 ἐγκαίοντες Li $M^{2}$ $O^{2}$ : -άοντες cet.: ἐκκάοντες $Bm^{4}$ 435 σφιν] σφίσι Suid. 151 437 ᾄδει Suid. 152 τάδε τὰ ἔπεα $V^{1}$ καλεῖται Suid. 439–461 = Suid. 153–175 439 ἀειδήσω $Bm^{4}$ Li $Ma^{2}$ $P^{9}$ $P^{11}$ : ἀοιδήσω $E^{1}$ $P^{3}$ $P^{11}$ $V^{1}$ : ἀοιδῆς ὦ $Ma^{1}$ $Ma^{2}$ ss. Suid. 153 440 ἀγαθὴ γαίη Suid. 154 : ἢ δεῦρ' ἀγαθὴ γαίη $Ma^{2}$ marg. ὑπέρεχε $A^{2}$ : ὑπερσχέ γε $Bm^{4}$ Li $P^{3}$ $P^{9}$ $P^{11}$ $V^{1}$ : ὑπερσχέγει $E^{1}$ : ὑπέρεσχε γε $Ma^{1}$ $Ma^{2}$ : ὑπέρσχεθε Suid. 154 441 versum cit. Pollux x. 85 τοῖς δ' ἀγγείοις προσαριθμητέον . . . κάναστρα, μαζονομεῖα, τὰ μὲν μαζονομεῖα Ἀριστοφάνους εἰπόντος ἐν Ὁλκάσι ⟨fr. 471 K⟩, τὰ δὲ κάναστρα τοῦ ποιήσαντος τοὺς Κεραμέας, οὕς τινες Ἡσιόδῳ προσνέμουσιν· λέγει γοῦν

εὖ δὲ περανθεῖεν κότυλοι καὶ πάντα κάναστρα

441 μελανθοῖεν $Bm^{4}$ $P^{3}$ $P^{11}$ : μελανθεῖεν (ss. αρ) $Ma^{2}$ : μαρανθεῖεν Suid. 155 (sc. *siccentur*) μάλ' ἱρὰ $A^{2}$ $Ma^{1}$ $P^{9}$ $V^{1}$ Suid. 155 : μάλ' ἱερὰ $Bm^{2}$ $Bm^{4}$ $E^{1}$ $M^{2}$ $Ma^{2}$ $O^{2}$ $P^{3}$ $P^{10}$ $P^{11}$ correximus : cf. Achaei fr. 50 et lexicogrr. μίγδα μάλευρον anon. ap. Zonar. 1334 b 5 κάναστρα Pollux, cf. hirundinis carmen P.L.G. iii. 671 442 τιμῆς ὦνον] τιμῇ ὄνειαρ Suid. 156 : τιμῆς ὄναρ A C : ὦνον (ss. ἢ ὄναρ) $Ma^{1}$ $Ma^{2}$ εὑρέσθαι $Bm^{4}$ $Ma^{1}$ $Ma^{2}$ $P^{3}$ $P^{11}$ : ἑλέσθαι $Ma^{1}$ corr., $Ma^{2}$ ss., Suid. 156 443 πολλὰ δ' ἐν ἀγυιαῖς codd. : δ' ἀγυιαῖς Suid. 444 ἡμῖν δὲ δ' ἂν $P^{3}$ ὅσφιν $Bm^{4}$ $P^{3}$ : ὅσφιν $P^{11}$ νοῆσαι] ἢ ἀεῖσαι $Ma^{1}$ : ἀεῖσαι ss. $Ma^{2}$ : ἀεῖσαι Suid. 158 445 ἂν δ' $Bm^{4}$ $P^{11}$ ἀναιδείης Suidae $O^{3}$ $P^{4}$ στρεφθέντες Suid. 159 ψεύδη $Bm^{2}$ $M^{2}$ $O^{2}$ $P^{10}$ Suidae $O^{3}$ $P^{4}$ : ψευδῆ $A^{1}$ $Bm^{4}$ $Ma^{1}$ $P^{3}$ $P^{9}$ $P^{11}$ 446 καμίνων $Ma^{1}$ $Ma^{2}$ Suid. 160

*Σύντριβ' ὁμῶς Σμάραγόν τε καὶ Ἄσβετον ἠδέ γ' Ἄβακτον,*
*Ὠμόδαμόν θ' ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζοι.*
*†πεῖθε πυραίθουσαν καὶ δώματα, σὺν δὲ κάμινος*
*πᾶσα κυκηθείη κεραμέων μέγα κωκυσάντων.*
*ὡς γνάθος ἱππείη βρύκει, βρύκοι δὲ κάμινος*
*πάντ' ἔντοσθ' αὐτῆς κεραμήϊα λεπτὰ ποιοῦσα.*
*δεῦρο καὶ ἠελίου θύγατερ πολυφάρμακε Κίρκη·*
*ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε καὶ ἔργα.*
*δεῦρο δὲ καὶ Χείρων ἀγέτω πολέας Κενταύρους,*
*οἵ θ' Ἡρακλείους χεῖρας φύγον, οἵ τ' ἀπόλοντο·*
*τύπτοιεν τάδε ἔργα κακῶς, τύπτοι δὲ κάμινον,*
*αὐτοὶ δ' οἰμώζοντες ὁρῴατο ἔργα πονηρά.*
*γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην.*
*ὃς δέ χ' ὑπερκύψῃ, περὶ τούτου πᾶν τὸ πρόσωπον*
*φλεχθείη, ὡς πάντες ἐπίσταιντ' αἴσιμα ῥέζειν.*

*Παραχειμάζων δὲ ἐν τῇ Σάμῳ, ταῖς νουμηνίαις προσπορευόμενος πρὸς τὰς οἰκίας τὰς εὐδαιμονεστάτας, ἐλάμβανέ*

447 *συντρίψαι σμάραγόν* Ma$^1$ Suidas 161 (*συντρίψω* Suidae O$^3$) : *σῦντριβ* (ss. *ψω*) Ma$^2$ *σύντριβ' ὁμοsμάραγόν* libri : *ὁμοσφάραγον* (ss. *ῶs*) Ma$^2$ *ἄσβεστον* libri, corr. Stephanus *γ' ἄβακτον* A$^2$ Bm$^2$ O$^2$ P$^{10}$ V$^1$ : *γάβακτον* ex *βάγακτον* M$^2$ : *γ' ἄμακτον* Bm$^4$ E$^1$ P$^3$ P$^9$ P$^{11}$ : *γ' ἄμοτον* (ss. *γρ. συμβάκτην*) *ἄβικτον* Ma$^1$ : cf. Hesych. *ἄβακτον καὶ ἄβυκτον· τὸ μὴ μακαριστόν* : *γ' ἄματον* (ss. *κ*) (*μ* corr. in *β*), marg. *σαβάκτην* Ma$^2$ ut Suid. 161 448 *ὠμοδαμόθ'* M$^2$ *θ' ὣs* V$^1$ Suidae E P$^1$ 162 *πολλὰ* om. Bm$^4$ Ma$^1$ Ma$^2$ P$^{12}$ *πολλὰ κακὰ* A$^2$ P$^{10}$ : *πολὰ κακὰ* Bm$^2$ Li M$^2$ O$^2$ *πορίζοι* Li M$^2$ Suid. : *πορίξει* V$^1$ Suidae P$^1$ : *πορίζει* cet. Suidae O$^3$ P$^4$ 449 *πεῖθε* codd. : *στεῖλαι* Ma$^1$ Ma$^2$ ut Suid. 163 : *πέρθε* Scaliger : *πρῆθε* Portus an *σεῖε, παῖε*? *πυρέθουσαν* Bm$^4$ Ma$^2$ P$^3$ (-*ε*-) (ss. *αι*) : *πυρήθουσαν* M$^1$ : -*αίθουσαν* cett. Suid. ib. pro foco vel parte fornacis recte habet Hermann, cl. *πυραιθεῖα* Strab. 733 450 *μέγα* om. Bm$^4$ P$^{11}$ 451 *βρύκοι* om. Ma$^1$ : *βρύκοι* Ma$^2$ : *ἀρύκοι* M$^2$, cf. Suid. 165 452 *αὐτῇ* Bm$^4$ Ma$^1$ Ma$^2$ : *αὐτοῦ* A$^2$ E$^1$ Li P$^3$ V$^1$ *ποοῦσα* P$^9$ P$^{11}$, Suidae O$^3$ P$^4$ 453 *θυγάτηρ* Bm$^4$ E$^1$ Li M$^2$ P$^9$ P$^{10}$ P$^{11}$ *πολυφάρμακος* A$^2$ E$^1$ Li Ma$^1$ Ma$^2$ P$^3$ P$^{11}$ V$^1$ 455 *πολλοὺs* Suid. 169 456 *ἡρακλῆος* Bm$^4$ E$^1$ Li Ma$^1$ Ma$^2$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ Suid. 170 *φύγον χεῖρας* Bm$^4$ Ma$^1$ Ma$^2$ P$^3$ P$^{11}$ 457 *τύπτοι* (ss. *πί*) Ma$^2$ : *πίπτοι* P$^9$ Suidas 171 *κάμινος* Bm$^4$ Li Ma$^1$ P$^3$ P$^9$ P$^{11}$ Suid. : *κάμινον* cett. 460 *ὑπερκύψει* libri, corr. Hermann (*ὑπερκύψῃ* Suidae O$^3$ 174) *ταύτην* Bm$^4$ E$^1$ Ma$^1$ Ma$^2$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ : *ταῦτα* A$^1$ Bm$^2$ M$^2$ O$^2$ P$^9$ 461 *φλεχθῇ ὅπως* Suid. 175 *ἐπίσταντ'* Bm$^2$ M$^2$ O$^3$ P$^{10}$ V$^1$ : *ἐπίστωντ'* Bm$^4$ E$^1$ P$^3$ P$^9$ P$^{11}$ : *ἐπίστωνται* Ma$^1$ Ma$^2$ Suidas 175 462 *ταῖs νουμηνίαις* om. Suid. 176 *νεομηνίαις* Ma$^1$ 463 *τὰs εὐδαιμονεστάτας*] *τῶν ἐπιφανεστάτων* Suid. 177

τι ἀείδων τὰ ἔπεα τάδε ἃ καλεῖται Εἰρεσιώνη, ὡδήγουν δὲ αὐτὸν καὶ συμπαρῆσαν αἰεὶ τῶν παίδων τινες τῶν ἐγχωρίων·

δῶμα προσετραπόμεσθ' ἀνδρὸς μέγα δυναμένοιο,
ὃς μέγα μὲν δύναται, μέγα δὲ βρέμει, ὄλβιος αἰεί.
αὐταὶ ἀνακλίνεσθε θύραι· πλοῦτος γὰρ ἔσεισι
πολλός, σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα,
εἰρήνη τ' ἀγαθή. ὅσα δ' ἄγγεα, μεστὰ μὲν εἴη,
κυρβαίη δ' αἰεὶ κατὰ καρδόπου ἕρποι μάζα,
τοῦ παιδὸς δὲ γυνὴ κατὰ διφράδα βήσεται ὔμμιν,
ἡμίονοι δ' ἄξουσι κραταίποδες ἐς τόδε δῶμα,
αὐτὴ δ' ἱστὸν ὑφαίνοι ἐπ' ἠλέκτρῳ βεβαυῖα.
νεῦμαί τοι νεῦμαι ἐνιαύσιος ὥστε χελιδὼν
ἕστηκ' ἐν προθύροις·

καὶ

468 δύναται] ἀΰτεῖ Suidas 181 : δύναται (ss. γρ. ἀΰτεῖ) Ma$^1$ Ma$^2$ 469 αὐταὶ Li M$^2$ P$^{11}$ : αὐτὰρ cet. Suid. 182 (ἀυτὰρ ss. αἱ Ma$^1$ Ma$^2$) εἴσεισι Bm$^4$ Ma$^2$ O$^2$ P$^{10}$ Ma$^1$ ss. : ἔσεισοϊ P$^3$ : ἔπεισι Ma$^1$ marg., Ma$^2$ Suid. 182 470 πουλὺς Suidae V$^2$ τεθαλῆος P$^{10}$ : τεθαλεία Bm$^4$ Ma$^1$ Ma$^2$ P$^3$ : τεθηλυῖα A$^2$ Bm$^2$ M$^2$ O$^2$ P$^{10}$ 472 κυρβαίη (ss. κ) Ma$^1$ Ma$^2$ : κυρκαίη Suid. 185 κατὰ δόρπου Suid. 185 : δόπου (ss. ρ) Ma$^2$ ἕρπεο Ma$^1$ Ma$^2$ Suid. 185 post h. v. hab. Suid. [186] versum νῦν μὲν κριθαίην εὐώπιδα σησαμόεσσαν : hab. et Ma$^1$ in textu, Ma$^2$ in marg. (κριθαίη) 473 διφράδα A$^2$ Bm$^2$ M$^2$ O$^2$ P$^{10}$: διφράδος Bm$^4$ Ma$^2$ P$^3$ P$^{11}$ V$^1$ : δίφρα (ss. ον) E$^1$ P$^3$: δίφρου (ss. α) Ma$^1$ : δίφρακα Suidae P$^4$ 187 : δίφρα cett. Suid. codd. βήσεται (ss. κατα) Ma$^2$ : καταβοήσεται Suidae O$^3$ : καταβήσεται Suidae codd. cet. ὔμμιν] ὑμνεῖν Ma$^1$, Ma$^2$ corr. Suidas 187 474 κραταίποδας A$^2$ Li M$^2$ O$^2$ 475 ὑφαίνοι ἱστὸν A$^2$ Bm$^2$ Bm$^4$ E$^1$ M$^2$ Ma$^1$ (ει) Ma$^2$ (ει) O$^2$ P$^3$ P$^9$ (ει) P$^{10}$ P$^{11}$ (ει) V$^1$ : ὕφαιν' ἱστὸν Suidas 189 ἐπὶ λέκτρω Bm$^4$ Ma$^1$ Ma$^2$ : ἐπὶ λέκτρα Suid. 189 βεβαυῖα] βεβηκυῖα Suid. 189 476 τοι] σοι A$^2$ Bm$^2$ M$^2$ O$^2$ νεύματί τοι εὔμαιον ἐνιαύσιος ἔσται χελιδών Suid. 190 : νεύματι εὔμαιον ἐνιαύσιος (ss. η) ὥς τε (ss. ἔσται) χελιδών Ma$^1$, marg. νεῦμαι σοι νεῦμαι : νεῦμά (corr. in αι) τοι νεῦμα (ss. ον) Ma$^2$ 476 sq. cf. carmen quod Athen. 360 B citat a Theognide ἐν β' περὶ τῶν Ῥόδῳ θυσιῶν [F.H.G. iv. 514] 477 ἐν om. Suid. 191 post προθύροις pergit Suidas

ψιλὴ πόδας· ἀλλὰ φέρ' αἶψα
πέρσαι τῷ Ἀπόλλωνος γυιάτιδος

haec in textu add. Ma$^1$ (πέρσαϊ), in marg. Ma$^2$ (πέρσεϊ) 478 καὶ om. Ma$^1$ καὶ ... 480 ἤλθομεν in libris cum προθύροις continuata seiunxit Valckenaer

εἰ μέν τι δώσεις εἰ δὲ μή, οὐχ ἑστήξομεν,
οὐ γὰρ συνοικήσοντες ἐνθάδ' ἤλθομεν.

ᾔδετο δὲ τάδε τὰ ἔπεα ἐν τῇ Σάμῳ ἐπὶ πολὺν χρόνον ὑπὸ τῶν παίδων ὅτε ἀγείροιεν ἐν τῇ ἑορτῇ τοῦ Ἀπόλλωνος.

λδ'. Ἀρχομένου δὲ τοῦ ἔαρος ἐπεχείρησε πλεῖν Ὅμηρος εἰς τὰς Ἀθήνας ἐκ τῆς Σάμου. καὶ ἀναχθεὶς μετά τινων ἐγχωρίων ἀπηνέχθη εἰς τὴν Ἴον· καὶ ὡρμίσθησαν οὐ κατὰ πόλιν, ἀλλ' ἐπ' ἀκτῆς. συνέβη δὲ τῷ Ὁμήρῳ κατὰ πολύ τι ἄρξασθαι μαλακῶς ἔχειν· ἐκβὰς δὲ τοῦ πλοίου ἐκοιμᾶτο ἐπὶ τῆς κυματωγῆς ἀδυνάτως ἔχων. πλείους δὲ ἡμέρας ὁρμούντων αὐτῶν δι' ἀπλοΐην, καταβαίνοντες αἰεί τινες τῶν ἐκ τῆς πόλιος ἀπεσχόλαζον παρὰ τῷ Ὁμήρῳ καὶ ἐν θωύματι εἶχον αὐτὸν ἀκούοντες αὐτοῦ.

λε'. Τῶν δὲ ναυτέων καὶ τῶν ἐκ τῆς πόλιος τινῶν ἡμένων παρὰ τῷ Ὁμήρῳ κατέπλωσαν παῖδες ἁλιῆες τὸν τόπον, καὶ ἐκβάντες ἐκ τοῦ ἀκατίου προσελθόντες αὐτοῖς τάδε εἶπον· ἄγετε ὦ ξένοι ἐπακούσατε ἡμέων, ἂν ἄρα δύνησθε διαγνῶναι ἅσσ' ἂν ὑμῖν εἴπωμεν. καί τις τῶν παρεόντων ἐκέλευε λέγειν· οἱ δὲ εἶπαν ἡμεῖς ἅσσα εἵλομεν κατελίπομεν· ἃ δὲ μὴ εἵλομεν φέρομεν. οἱ δέ φασι μέτρῳ εἰπεῖν αὐτοὺς

ἅσσ' ἕλομεν λιπόμεσθα· ἃ δ' οὐχ ἕλομεν φερόμεσθα.

οὐ δυναμένων δὲ τῶν παρεόντων γνῶναι τὰ ῥηθέντα, διηγήσαντο οἱ παῖδες ὅτι ἁλιεύοντες οὐδὲν ἐδύναντο ἑλεῖν, καθήμενοι δὲ ἐν γῇ ἐφθειρίζοντο, καὶ ὅσους μὲν ἔλαβον τῶν

479 εἰ μέν τι δώσεις. εἰ δὲ μή, οὐκ ἐάσομεν Athen. 360 C (P.L.G. iii. 671) 480 συνοικήσοντε Li M$^2$ P$^{10}$ 481 δὲ om. Bm$^4$ P$^3$ τὰ ἔπεα Bm$^4$ P$^3$ P$^9$ om. cet.: ταῦτα Bm$^4$ P$^{11}$ Suid. 196 ὑπὸ] παρὰ Suid. ib. 484 ἐκ τῆς σάμου εἰς τὰς ἀθήνας V$^1$ 487 δὲ P$^9$: δ' ἐκ cet. (δὲ ἐκ Bm$^4$ P$^3$ P$^{10}$ P$^{11}$) 494 αὐτοῖς] πρὸς αὐτὸν Bm$^4$ Ma$^1$ P$^3$ P$^9$ P$^{11}$ V$^1$ Suidas 200 495 ἀναγνῶναι Suid. 202 497 εἶπον Suid. 203 ἅττα Li M$^2$: ἅττα (ss. σσ) Bm$^2$ O$^2$ ἂν ἕλωμεν Suid. 203 καταλείπομεν Ma$^1$ V$^1$ 499 = vit. Proc. 100. 18 Plut. 67 iv. 22 v. 42 vi. 61 Suid. 206 Cert. 328, cf. Heracliti fr. 56 Diels 47 n. Byw. ἅσσ'] ἃς Bm$^2$ Li M$^2$ O$^2$ P$^{10}$: οὓς Proc.: ὅσσ' vit. iv, v λιπόμεσθ' οὓς Proc.: ὅσσ' Plut.: ὅσα δ' iv, v: ἅσσ' Cert.: λιπόμεσθα ὅσ' Cert. 500 παρόντων Suid. 207 λεχθέντα Suid. 502 τῇ γῇ Bm$^4$ P$^3$ P$^9$ P$^{11}$

φθειρῶν κατέλιπον· ὅσους δὲ μὴ ἐδύναντο ἐς οἴκους ἀπεφέροντο. ὁ δὲ Ὅμηρος ἀκούσας ταῦτα ἔλεξε τὰ ἔπεα τάδε·

τοίων γὰρ πατέρων ἐξ αἵματος ἐκγεγάασθε,
οὔτε βαθυκλήρων οὔτ' ἄσπετα μῆλα νεμόντων.

λϛʹ. Ἐκ δὲ τῆς ἀσθενείας ταύτης συνέβη τὸν Ὅμηρον τελευτῆσαι ἐν Ἴῳ, οὐ παρὰ τὸ μὴ γνῶναι τὸ παρὰ τῶν παίδων ῥηθέν, ὡς οἴονταί τινες, ἀλλὰ τῇ μαλακίῃ. τελευτήσας δὲ ἐν τῇ Ἴῳ αὐτοῦ ἐπ' ἀκτῆς ἐτάφη ὑπό τε τῶν συμπλόων καὶ τῶν πολιήτεων ὅσοι ἐν διαλογῇ ἐγεγένηντο αὐτῷ. καὶ τὸ ἐλεγεῖον τόδε ἐπέγραψαν Ἰῆται ὕστερον χρόνῳ πολλῷ, ὡς ἤδη ἥ τε ποίησις ἐξεπεπτώκεε καὶ ἐθαυμάζετο ὑπὸ πάντων· οὐδὲ Ὁμήρου ἐστίν·

ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύψεν
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

κζʹ. Ὅτι δὲ ἦν Αἰολεὺς Ὅμηρος καὶ οὔτε Ἴων οὔτε Δωριεύς, τοῖς τε εἰρημένοις δεδήλωταί μοι καὶ δὴ καὶ τοῖσδε τεκμαίρεσθαι παρέχει. ἄνδρα ποιητὴν τηλικοῦτον εἰκός ἐστι τῶν νομίμων τῶν παρὰ τοῖς ἀνθρώποις ποιοῦντα ἐς τὴν ποίησιν ἤτοι τὰ κάλλιστα ἐξευρόντα ποιέειν ἢ τὰ ἑωυτοῦ, πάτρια ἐόντα. ἤδη τοίνυν τὸ ἐνθένδε αὐτοὶ τῶν ἐπέων ἀκούοντες κρινεῖτε. ἱεροποιΐην γὰρ ἢ τὴν κρατίστην ἐξευρὼν ἐποίησεν ἢ τὴν ἑωυτοῦ πατρίδι προσήκουσαν. λέγει γὰρ ὧδε·

503 κατέλιπον] ἀνεῖλον Suid. 210 οἶκον Suid. 504 ἔλεγε Bm$^{4}$ V$^{1}$ Suid. 211 505 ἐκγεγάασθε Bm$^{4}$ P$^{9}$ Suid. 213 : -άατε cet. 508 ἐν τῇ ἴω Bm$^{4}$ : ἐν[illegible]ἴῳ V$^{1}$ 509 λεχθὲν Suid. 217 ὡς] καθάπερ Suid. 217 510 ἐτάφη ἐν τῇ ἴω κτλ. A$^{2}$ Bm$^{4}$ V$^{1}$ 511 σύμπλων Bm$^{4}$ P$^{3}$ P$^{9}$ P$^{11}$ V$^{1}$ : συμπλεόντων Bm$^{2}$ M$^{2}$ O$^{2}$ P$^{10}$ πολιτέων M$^{2}$ : πολιτῶν Bm$^{4}$ Ma$^{1}$ 512 πολλῶ χρόνω V$^{1}$ 514 παρὰ πάντων Ma$^{1}$ ὑπὸ πολλῶν Suid. 222 515, 516 = Anth. Pal. vii. 3 vit. Plut. 73, 74 Cert. 337, 338 vit. iv. 24, 25 v. 51, 52 vi. 63, 64 Suid. 54, 55, 220, 221, cf. et Kaibel *Ep. gr.* 48, 51, 272, 354, 416, 660, 661 515 ἱερὰν Bm$^{4}$ O$^{2}$ Suid. 54, 220 καλύπτει Ma$^{1}$ Ma$^{2}$ Suid. bis Anth. Plut. Cert. vitt. iv, v, vi γαῖ' ἐκάλυψεν Kaibel 51 517 ἦν] ὢν V$^{1}$ 518 δὴ καὶ om. Ma$^{1}$ 520 ποιεῦντα Bm$^{4}$ V$^{1}$ 521 ἢ καὶ τὰ Ma$^{1}$ 522 ὄντα Ma$^{1}$ αὐτοὶ] αὐτῶν Ma$^{1}$ 523 ἀκούσαντες Bm P$^{4}$ (ον ss.) κράτιστον P$^{9}$ V$^{1}$ 524 ἑαυτῶ πάτριον Bm$^{4}$ P$^{3}$ P$^{9}$ P$^{11}$ V$^{1}$ : ἑαυτῶ om. πατρίδι Ma$^{1}$

αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
μηρούς τ' ἐξέταμον κατά τε κνίσσῃ ἐκάλυψαν,
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.

ἐν τούτοις ὑπὲρ ὀσφύος οὐδὲν εἴρηται ᾗ ἐς τὰ ἱερὰ χρέονται· μονώτατον γὰρ τῶν Ἑλλήνων τὸ Αἰολικὸν ἔθνος οὐ καίει ὀσφύν. δηλοῖ δὲ καὶ ἐν τοῖσδε τοῖς ἔπεσιν ὅτι Αἰολεὺς ὢν δικαίως τοῖς νόμοις τοῖς τούτων ἐχρῆτο·

καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.

Αἰολέες γὰρ μόνοι τὰ σπλάγχνα ἐπὶ πέντε ὀβελῶν ὀπτῶσιν, οἱ δὲ ἄλλοι Ἕλληνες ἐπὶ τριῶν. καὶ γὰρ ὀνομάζουσιν οἱ Αἰολεῖς τὰ πέντε πέμπε.

λη'. Τὰ μὲν οὖν ὑπὲρ τῆς γενέσιος καὶ τελευτῆς καὶ βίου δεδήλωταί μοι. περὶ δὲ ἡλικίης τῆς Ὁμήρου ἐκ τῶνδ' ἄν τις ἐπισκεπτόμενος ἀκριβῶς καὶ ὀρθῶς λογίζοιτο. ἀπὸ γὰρ τῆς εἰς Ἴλιον στρατίης, ἣν Ἀγαμέμνων καὶ Μενέλαος ἤγειραν, ἔτεσιν ὕστερον ἑκατὸν καὶ τριάκοντα Λέσβος ᾠκίσθη κατὰ πόλεις, πρότερον ἐοῦσα ἄπολις. μετὰ δὲ Λέσβον οἰκισθεῖσαν ἔτεσιν ὕστερον εἴκοσι Κύμη ἡ Αἰολιῶτις καὶ Φρικωνὶς καλεομένη ᾠκίσθη. μετὰ δὲ Κύμην ὀκτωκαίδεκα ἔτεσιν ὕστερον Σμύρνα ὑπὸ Κυμαίων κατῳκίσθη· καὶ ἐν τούτῳ γίνεται Ὅμηρος. ἀφ' οὗ δ' Ὅμηρος ἐγένετο ἔτεά ἐστιν ἑξακόσια εἰκοσιδύο μέχρι τῆς Ξέρξεω διαβάσεως, ἣν στρατευσάμενος ἐπὶ τοὺς Ἕλληνας καὶ ζεύξας τὸν Ἑλλήσποντον διέβη ἐκ τῆς Ἀσίας ἐς τὴν Εὐρώπην. ἀπὸ δὲ

526–528 = A 459–461 B 422–424  526 αὐέρυσαν $Bm^2$ $O^2$: ἀνέρυσαν $Ma^1$ $Ma^4$ : αὖ ἔρ. cet.  πρῶτα μὲν $P^3$  529 ἐν τούτοις γὰρ $P^3$ $P^9$ $P^{11}$  ᾗ ἐς] οἷς $Ma^1$  χρέωνται $Ma^2$ ante corr., $P^9$  532 δικαίως add. $Bm^4$ $P^3$ $P^9$ $P^{11}$  τοῖς τούτων νόμοις $Bm^4$ $P^3$ $P^9$ $P^{11}$  533, 534 = A 462, 463 γ 459, 460  534 ἔχον om. $P^{10}$ $V^1$  πεμπόμβολα $M^2$  535 μόνα $V^1$  538 γεννήσιος $V^1$  539 τοῦ δμήρου $P^3$  541 στρατίης $P^9$ : -είης $Bm^4$ $P^3$ $P^{11}$ : -είας cet.  545 φρικῶτις plerique : φρικώτης $M^2$ : φιοκιῶτις $V^1$ : Κύμη ἡ Φρικωνὶς καλεομένη Herod. i. 149 Strab. 582 : Φρικωνῖτις Steph. Byz. in Κύμη, quod tentat Barnes. eadem corruptio ap. Tzetzem in Hes. f. 143 Heins. corr. Wesseling ad Herod.

τούτου ῥηϊδίως ἐστὶ ἀριθμῆσαι τὸν χρόνον τῷ ἐθέλοντι ζητεῖν ἐκ τῶν ἀρχόντων τῶν Ἀθήνησι. τῶν δὲ Τρωϊκῶν
553 ὕστερον γέγονεν Ὅμηρος ἔτεσιν ἑκατὸν ἑξήκοντα ὀκτώ.

## CERTAMEN

*subsidia*

Dio Prusaensis or. ii. 11 = 20 M = 76 R citat Λ 67–71 tum ταῦτα μέντοι ποιῶν Ὅμηρος ἡττᾶτο ὑπὸ Ἡσιόδου, ὁ Φίλιππος εἶπεν· ἢ οὐκ ἀκήκοας τὸ ἐπίγραμμα τὸ ἐν Ἑλικῶνι τὸ ἐπὶ τοῦ τρίποδος;

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

Plutarchus Septem Sap. convivium c. 10. 153 F ἀκούομεν γὰρ ὅτι καὶ πρὸς τὰς Ἀμφιδάμαντος ταφὰς εἰς Χαλκίδα τῶν τοτε σοφῶν οἱ δοκιμώτατοι ποιηταὶ συνῆλθον. ἦν δ' ὁ Ἀμφιδάμας ἀνὴρ πολεμικός, καὶ πολλὰ πράγματα παρασχὼν Ἐρετριεῦσιν ἐν ταῖς περὶ Ληλάντου μάχαις ἔπεσεν. ἐπεὶ δὲ τὰ παρεσκευασμένα τοῖς ποιηταῖς ἔπη χαλεπὸν καὶ δύσκολον ἐποίει τὴν κρίσιν διὰ τὸ ἐφάμιλλον, ἥ τε δόξα τῶν ἀγωνιστῶν Ὁμήρου καὶ Ἡσιόδου πολλὴν ἀπορίαν μετ' αἰδοῦς τοῖς κρίνουσι παρεῖχεν, ἐτράποντο πρὸς τοιαύτας
16 ἐρωτήσεις, καὶ προὔβαλ' ὁ μέν, ὥς φησι Λέσχης

Μοῦσά μοι ἔννεπε κεῖνα τὰ μήτ' ἐγένοντο πάροιθε
μήτ' ἔσται μετόπισθεν·

ἀπεκρίνατο δ' Ἡσίοδος ἐκ τοῦ παρατυχόντος

ἀλλ' ὅταν ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
ἅρματα συντρίψουσιν ἐπειγόμενοι περὶ νίκης.

καὶ διὰ τοῦτο λέγεται μάλιστα θαυμασθεὶς τοῦ τρίποδος τυχεῖν.

551 τούτων Ma[1] P[3] ἰδίως Ma[1] 552 τῶν ante Ἀθήνησι Bm[4] P[3] P[9] P[11]: om. cet. 553 γεγένηται Bm[4] P[3] V[1] καὶ ἑξήκοντα Ma[1] ὀκτὼ om. Bm[4] Ma[1] P[3] P[11] numeros absque auctore adfert Cyrillus in Iulian. l. vii. f. 225

16 Lesches, cf. p. 136.

Plut. Quaes. conv. v. 2. 674 F ἐνίοις μὲν οὖν ἐπίδοξος ἤμην ἕωλα παραθήσειν πράγματα, τὰς Οἰολύκου τοῦ Θετταλοῦ ταφὰς καὶ τὰς Ἀμφιδάμαντος τοῦ Χαλκιδέως ἐν αἷς Ὅμηρον καὶ Ἡσίοδον ἱστοροῦσιν ἔπεσι διαγωνίσασθαι. καταβαλὼν δὲ ταῦτα τῷ διατεθρυλῆσθαι πάνθ' ὑπὸ τῶν γραμματικῶν . . . εἶπον κτλ.

Philostratus Heroicus xviii. 2 = 194 = 318 = 727 γέγονε γὰρ ξένε γέγονε ποιητὴς Ὅμηρος καὶ ᾖδεν, ὡς μέν φασιν ἕτεροι, μετὰ τέτταρα καὶ εἴκοσιν ἔτη τῶν Τρωικῶν, οἱ δὲ μετὰ ἑπτὰ καὶ εἴκοσι πρὸς τοῖς ἑκατόν, ὅτε τὴν ἀποικίαν οἱ Ἀθηναῖοι ἐς Ἰωνίαν ἔστειλαν, οἱ δὲ ἑξήκοντα καὶ ἑκατὸν ἔτη γεγονέναι μετὰ τὴν Τροίαν ἐπὶ Ὅμηρόν τέ φασι καὶ Ἡσίοδον, ὅτε δὴ ᾆσαι ἄμφω ἐν Χαλκίδι τὸν μὲν τὰ ἑπτὰ ἔτη τὰ περὶ τοῖν Αἰάντοιν καὶ ὡς αἱ φάλαγγες αὐτοῖς ἀραρυῖαί τε ἦσαν καὶ καρτεραί, τόν δὲ τὰ πρὸς τὸν ἀδελφὸν τὸν ἑαυτοῦ Πέρσην, ἐν οἷς αὐτὸν ἔργων τε ἐκέλευσεν ἅπτεσθαι καὶ γεωργίᾳ προσκεῖσθαι, ὡς μὴ δέοιτο ἑτέρων μηδὲ πεινῴη. καὶ ἀληθέστερα ξένε περὶ τῶν Ὁμήρου χρόνων ταῦτα, ξυντίθεται γὰρ αὐτοῖς ὁ Πρωτεσίλεως. δύο γοῦν ποιητῶν ὕμνον ποτε εἰπόντων ἐς αὐτὸν ἐνταυθοῖ καὶ ἀπελθόντων ἤρετό με ὁ ἥρως ἀφικόμενος ὅτῳ αὐτῶν ψηφιζοίμην, ἐμοῦ δὲ τὸν φαυλότερον ἐπαινέσαντος, καὶ γὰρ μᾶλλον ἔτυχέ με ᾑρηκώς, γελάσας ὁ Πρωτεσίλεως καὶ Πανίδης ἔφη ἀμπελουργὲ ταὐτόν σοι πέπονθεν· Χαλκίδος γὰρ τῆς ἐπ' Εὐρίπῳ βασιλεὺς ὢν ἐκεῖνος Ἡσιόδῳ κατὰ Ὁμήρου ἐψηφίσατο καὶ ταῦτα τὸ γένειον μεῖζον ἔχων ἢ σύ.

Themistius ed. Dindorf 1832 or. xxx. 348 c δεῖ δὲ ἤδη καὶ ἡμᾶς Ἡσιόδῳ καὶ Μούσαις ἀκολουθοῦντας ἐπιδεῖξαι διὰ πλειόνων ὡς ἄρα οὐ μάτην Ἡσίοδος σοφὸς ἐνομίσθη, ἀλλ' εἰς τοσοῦτον εὐκλείας διὰ τοὺς εἰς γεωργίαν λόγους προῆλθεν ὥστε καὶ Ὁμήρῳ περὶ σοφίας καὶ μουσικῆς ἐν ταφαῖς Ἀμφιδάμαντος εἰς ἀγῶνα ἐλθὼν παρὰ τῶν κριτῶν τὸν στέφανον καὶ τὴν νίκην ἔχειν. ὁ μὲν γὰρ πολέμους καὶ

μάχας καὶ τὸν συνασπισμὸν τοῖν Αἰάντοιν καὶ ἄλλα τοιαῦτα προσῆδεν, ὁ δὲ γῆς τε ὕμνησεν ἔργα καὶ ἡμέρας ἐν αἷς τὰ ἔργα βελτίω γίνεται· καὶ διὰ ταῦτα πᾶσι τοῖς κριταῖς κρατεῖ.

A. Gellius iii. 11. 3 *M. autem Varro in primo de imaginibus uter prior sit natus parum constare dicit, sed non esse dubium quin aliquo tempore eodem vixerint, idque ex epigrammate ostendi quod in tripode scriptum est qui in monte Helicone ab Hesiodo positus traditur.*

Libanius Apologia Socratis p. 553 D Morell.

ἠγωνίσατό ποτε Ὁμήρῳ Ἡσίοδος, καὶ τοῦτο αὐτὸς Ἡσίοδος ἐν ἐπιγράμματι διδάσκει, φιλοτιμούμενος καὶ λέγων νενικηκέναι τὸν Ὅμηρον.

Eust. 4. 38 εἰ δὲ καὶ ἤρισεν Ὅμηρος Ἡσιόδῳ τῷ Ἀσκραίῳ καὶ ἡττήθη, ὅπερ ὄκνος τοῖς Ὁμηρίδαις καὶ λέγειν, ζητητέον ἐν τοῖς εἰς τοῦτο γράψασιν, ἐν οἷς ἔκκεινται καὶ τὰ ῥητὰ τῆς ἔριδος.

Cf. et Tzetzes prooemium in Iliadis Alleg. 50 ed. Matranga, 1850, p. 3.

Post auctores praefigendam duximus vitae Hesiodeae eam quae ad Homerum spectat partem. et hanc quidem vitam quam Proculo attribuunt codices, a Tzetze conscriptam esse inde a Rankio (*de Hesiodi Op. et Di. commentatio* 1838) est creditum: cf. quos congessit Rzachius auctores l. c. et Eugenium Abel *Wiener Studien* xi. 88 sqq. attamen constat a Proculo Tzetzen sua hic sicut alias traxisse, atque ut vitam Homeri Proculeam quae tamen iam exstat in eam formam quae est in Chiliad. xiii. 626 Exeg. in Il. ff. 7–38 corruperit, ita Hesiodi Proculeam vitam et corrupisse et interemisse. vita ipsa duo species, alteram ampliorem, decurtatam alteram habet; superest et tertia longior in Tzetzae expositionem Operum et Dierum immissa, adhuc apud Gaisfordium Poett. min. graec. 1820 iii. 9 sqq quae-

renda. vellem quidem vir clarissimus Aloisius Rzach cum cetera Hesiodea ederet et haec monumenta perpolita tradidisset: ipsi codices duo Matritenses unum Oxoniensem attulimus.

*Codices vitae Hesiodeae*

M = Monacensis 334. chart. in quarto, ff. 171, s. xv. cont. Sophoclem, Hesiodum, Dionysium periegetam, Theocritum. collatus a G. Thomas in usum Westermanni.

$Ma^1$ = Matritensis bibl. nat. 4607 (Iriart. 8). chart. mm. 322 × 230, ff. 133, s. xv, manu C. Lascaris. cont. f. 2 v. vitam Hesiodi Suideam, f. 3 vitam Tzetzae breviorem.

$Ma^2$ = Matritensis bibl. nat. 4642 (Iriart. 103). chart. mm. 200 × 140, ff. 136, s. xv. cont. f. 2 r.–4 r. vitam praebet eandem fere atque O, scilicet ex *Exegesi* amplificatam.

O = Oxoniensis Barocci 60. chart. mm. 205 × 145, ff. 143, s. xv. cont. Hesiodi O.D. et Theogoniae 1–520 cum Proculi commentario. vitam praebet multis partibus amplificatam.

$P^1$ = Parisiensis graecus 2708 (B Gaisfordii). chart., ff. 300, s. xv. cont. Hesiodi opera cum scholiis.

$P^2$ = Parisiensis graecus 2758. chart., ff 69, s. xv. cont. Hesiodi Opera et Dies cum Moschopuli scholiis. contulit E. Miller in usum Westermanni.

$P^3$ = Parisiensis graecus 2763 (D Gaisfordii). chart., ff. 243, s. xv. cont. variorum hymnos, Hesiodi opera cum Proculi praefatione.

$P^4$ = Parisiensis graecus 2833 (C Gaisfordii). membr., ff. 214, s. xv. cont. Theocritum hymnos, Hesiodi opera.

T = Taurinensis 205 b, iii. 16. chart., ff. 83, s. xvi. cont. Proculum in Cratylum. contulit Göttling (vita Herodotea omissa est a Pasinio in cat.).

V = Vat. 1409. s. xiv. cont. Theogoniam. contulit Göttling.

*Ex.* = vita in Tzetzae exegesi ap. Gaisford. P. M. G., 1820, iii. 5 sqq. obvia. exegesis codices secundum proprios numeros citavimus.

[Cod. Palatinum 18, s. xiv, hodie Heidelbergae asservatum non citavimus: lectiones enim quas C. F. Neumann (*reliquiae Aristotelis rerum publicarum collegit C. F. N.*, 1827 = Aristotelis opp. ed. Bekker, Oxon., 1837, t. x. 329), ex margine ed. Heinsii quae publica in bibliotheca Heidelbergae extat exscripsit licet e codice illo depromptae sint ita id factum esse minime constat. vita carent Commelini binae editiones (aa. 1591, 1598). item codicem Neapolitanum a Lenneppio apud Boissonadium in ed. Hes. a. 1824 citatum praeterimus. non enim e catalogo Cyrilliano dignoveris qualis sit, neque cur numero 54 eum notaverit Rzach equidem perspexi.]

# VITAE HESIODI PARTICVLA

[West. ii. c. 2, Hes. ed. Rzach, 1884, p. xii. 37]

συνηκμακέναι δ' αὐτὸν οἱ μὲν Ὁμήρῳ φασίν, οἱ δὲ καὶ Ὁμήρου προγενέστερον εἶναι διισχυρίζονται. καὶ οἱ μὲν προγενέστερον εἶναι τοῦτον Ὁμήρου διισχυριζόμενοι ἐν ἀρχαῖς εἶναί φασι τῆς Ἀρχίππου ἀρχῆς, Ὅμηρον δ' ἐν τῷ τέλει. ὁ δ' Ἄρχιππος οὗτος υἱὸς ἦν Ἀκάστου, ἄρξας Ἀθηναίων ἔτη λε΄. οἱ δὲ συγχρόνους αὐτοὺς εἶναι λέγοντες ἐπὶ τῇ τελευτῇ τοῦ Ἀμφιδάμαντος τοῦ βασιλέως Εὐβοίας φασὶν αὐτοὺς ἀγωνίσασθαι καὶ νενικηκέναι Ἡσίοδον ἀγωνοθετοῦντος καὶ κρίνοντος Πανήδου τοῦ βασιλέως, τοῦ ἀδελφοῦ Ἀμφιδάμαντος, Γανύκτορός τε καὶ τῶν λοιπῶν. ἐξηρωτηκέναι γὰρ αὐτοὺς πολλὰ πρὸς ἀλλήλους φασὶ δι' ἐπῶν αὐτοσχεδίων καὶ ἀποκρίνασθαι, καὶ πᾶσι τὸν Ὅμηρον τὰ πρωτεῖα λαμβάνειν· τέλος τοῦ βασιλέως Πανήδου εἰπόντος αὐτοῖς τὰ κάλλιστα τῶν ἑαυτῶν ἐπῶν ἀναλεξαμένους εἰπεῖν, Ὅμηρος μὲν ἄρχεται λέγειν τοῦτο τὸ χωρίον ἀπὸ πολλῶν ἐπῶν ἀρξάμενος ὄπισθεν·

ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε κόρυς κόρυν ἀνέρα δ' ἀνήρ,  
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι  
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι,

καὶ περαιτέρω τούτων. Ἡσίοδος δὲ τῶν

Πληιάδων Ἀτλαγενέων ἐπιτελλομενάων

2 εἶναι διισχυρίζονται om. Ma$^1$ καὶ οἱ μὲν] οἱ μὲν οὖν Ma$^1$ 3 ὁμήρου τοῦτον O : τοῦτον om. Ma$^2$ τοῦτον ἐν ἀρχαῖς Ma$^2$ 4 ἀρξίππου ἄρξιππος codd., corr. Göttling ἀρχῆς τὸν ἡσίοδον ἐν δὲ τῷ τέλει τὸν ὅμηρον O 6 εἶναι] γεγονέναι Ma$^1$ 7 τοῦ prius om. Ma$^2$ O 8 καὶ αὐτοὺς φασὶν O νενικηκέναι Ma$^1$ Ma$^2$ O P$^2$ V : -κότα cet. 9 κρίνοντος τὰ μέτρα Ma$^1$ Ma$^2$ O *Ex.* πανίδου codd., cf. Cert. 69 10 γανέκτυρός O : γανΰήτορος Ma$^1$ 11 ἠρωτ. O : ἠρωτηκέναι . . . 27 καὶ σφάγια om. Ma$^1$ add. mg. inf. 12 ἀποκρίνεσθαι O 14 γρ. ἀναλεξομένους O 15 τουτὶ O ὅμηρος μὲν ἦσεν ἄνωθεν ἀρξάμενος Ma$^1$ 17–19 = N 131–133 18 κόρυθες καὶ τὰ ἑξῆς Ma$^1$ omissis ceteris 20 ἔλεγε δὲ καὶ περαιτέρω O τῶν] τοῦ M *Ex.* 21 = O.D. 383 ἀτλαγεννάων O : -γενάων *Ex.* Par. 2707 post 20 add. ἄρχεσθαι ἀμητοῦ καὶ τὰ λοιπὰ Ma$^1$

ἀπάρχεται καὶ ὁμοίως Ὁμήρῳ προβαίνει μέχρι πολλοῦ τῶν ἐπῶν. καὶ πάλιν ἐπὶ τούτοις οἱ παρεστῶτες πάντες τῶν ἐλλογίμων καὶ στρατιωτῶν τὸν Ὅμηρον ἐστεφάνουν, ὁ δὲ Πανήδης ἔκρινε νικᾶν Ἡσίοδον ὡς εἰρήνην καὶ γεωργίαν διδάσκοντα, καὶ οὐ καθάπερ Ὅμηρος πολέμους καὶ σφάγια. ἀλλὰ ταῦτα μέν εἰσι ληρήματα τῶν νεωτέρων καὶ πλάσεις τῶν πρὸς ἀλλήλους ἐρωτημάτων καὶ τῶν ἐξ Ὁμήρου παρεκβεβλημένων ἐπῶν καὶ ὑπ' ἐκείνου δῆθεν ῥηθέντων. Ὅμηρος γὰρ ὁ χρυσοῦς, ὡς ἐγῷμαι, μᾶλλον δ' ἀκριβεστάτως ἐπίσταμαι, πολύ τε παλαιότερος Ἡσιόδου ὑπῆρχε, καὶ εἰ πρὸς τοὺς θρυλλουμένους ἐκείνους θεοὺς ἔριν ἐστήσατο λόγων, καὶ κατὰ τούτων ἂν τὰ πρωτεῖα καὶ τοὺς στεφάνους ἠνέγκατο. ἀλλ' ἴσως ἕτερος Ὅμηρος ἦν ὁ τῷ Ἡσιόδῳ ἰσόχρονος, ὁ τοῦ Εὔφρονος παῖς ὁ Φωκεύς, ὁ καὶ τούτῳ τὴν ἔριν στησάμενος, κἂν τὰ ἔπη τοῦ θείου ἐκείνου ἀνδρὸς τῇ ὁμωνυμίᾳ πεπλανημένοι λέγειν τοῦτον ἐπλάσαντο. Ὅμηροι γὰρ πολλοὶ γεγόνασιν ἕτεροι ζήλῳ τοῦ παλαιοῦ τὴν κλῆσιν λαμβάνοντες· καὶ γὰρ καὶ τοῦ Φωκέως Ὁμήρου τούτου ἕτερος ὑπάρχει νεώτερος Ὅμηρος. οὗτος ὁ νεώτερος Ὅμηρος ἦν παῖς Ἀνδρομάχου, τῷ γένει Βυζάντιος, ὁ τὴν Εὐρυπύλειαν ποιήσας. τὸν παλαιὸν δ' Ὅμηρον Διονύσιος ὁ κυκλογράφος ⟨F.H.G. ii. 10⟩ φησὶν ἐπ' ἀμφοτέρων ὑπάρχειν τῶν Θηβαικῶν στρατειῶν καὶ τῆς

22 *μέχρι πολλῶν ἐπῶν* vulg. : *πολλοῦ τῶν* M V *γρ.* O 23 *καὶ πάλιν καὶ* Ma$^2$ 24 *τῶν στρατιωτῶν* O : *στρατιῶται* *Ex.* : *καὶ στρατιωτῶν* Par. 2773 : *πάντων τῶν ἐλλήνων στρατιωτῶν* Par. 2774 25 *πανίδης* codd. 27 *ἀλλὰ . . .* 46 *προγενέστερον* om. Ma$^1$ *ληρήματα τῶν νέων εἰσὶ* Ma$^2$ O 29 *παρεκβεβλημένων* V : *παραβεβλ.* cet. *ἐκείνων* O 30 *ῥηθέντων*] *εἰρημένων* *Ex.* praeter Par. 2773, 2774 *πολὺς* (ss. *χρυσοῦς*) Ma$^2$ 31 *ἀκριβῶς* *Ex.* Par. 2773 32 *τεθρυλλημένους* Ma$^2$ *Ex.* Par. 2773, 2774 33 *ἔριν λόγων ἐστήσατο* Ma$^2$ O 34 *ὁ ἕτερος* V *Ex.* praeter Par. 2707, 2773 35 *τοῦ ἡσιόδου* *Ex.* praeter Par. 1310, 2707, 2774 36 *ἔπη* V : om. cet. 38 *ἐγεγόνασιν* Ma$^2$ 39 *παλαιοῦ* V : *πάλαι* cet. *τὴν κλῆσιν τούτου* Ma$^2$ : *τὴν τούτου* O *Ex.* 40 *ἕτερος ὅμηρος ὑπάρχει νεώτερος* O : *νεώτερος ὅμηρος ὁ τὴν εὐρυπύλειαν ποιήσας· ἦν δὲ οὗτος παῖς ἀνδρομάχου* *Ex.* 41 *οὗτος οὖν* O 42 *εὐρυκλίαν* *Ex.* Par. 2774 42 sqq. eadem Tzetzes Chiliad. xii. 183 sqq., 200 sqq., xiii. 644–647 44 *ἤγουν τῶν θηβ.* O

Ἰλίου ἁλώσεως. ἐκ τούτου οὖν λογίζομαι τοῦτον τοῦ Ἡσιόδου εἶναι ν' ἐτῶν προγενέστερον. Ἀριστοτέλης γὰρ ὁ φιλόσοφος, μᾶλλον δ' οἶμαι ὁ τοὺς πέπλους συντάξας ⟨f. 1574 Ros.⟩ ἐν τῇ Ὀρχομενίων πολιτείᾳ ⟨fr. 100 Neumann 524 Ros.⟩, Στησίχορον τὸν μελοποιὸν εἶναί φησιν υἱὸν Ἡσιόδου, ἐκ τῆς Κτιμένης αὐτῷ γεννηθέντα τῆς Ἀμφιφάνους καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως. ὁ δὲ Στησίχορος οὗτος σύγχρονος ἦν Πυθαγόρᾳ τῷ φιλοσόφῳ καὶ τῷ Ἀκραγαντίνῳ Φαλάριδι· οἱ δ' Ὁμήρου ν' ὑστερίζοντα ἔτεσι καθά φησι καὶ Ἡρόδοτος. συνεγράψατο δ' ὁ τοιοῦτος Ἡσίοδος βίβλους ιϛ', Ὅμηρος δ' ὁ παλαιὸς ιγ'.

45 γοῦν G *Ex.* τοῦ ἡσιόδου V : τὸν ἡσίοδον cet. 46 προγενέστερον Ma$^{2}$ O V : μεταγ. uv. cet. Ἀριστοτέλης . . . 48 πολιτείᾳ] φασὶ δέ τινες Ma$^{1}$ 46 ἢ ὁ φιλόσοφος Ma$^{2}$ 47 ἢ μᾶλλον O συνάξας marg. ed. Heinsii 48 πολιτείᾳ] πόλει O : στρατείᾳ P$^{3}$ P$^{4}$ 49 μελῳδοποιὸν O φασὶν υἱὸν marg. ed. Heinsii 50 κλυμένης corr. ex κτιμ- Ma$^{1}$ : κτημένης *Ex.* : κτημένης Ma$^{2}$ : κεκτημένης O marg. ed. Heinsii, corr. Hermann opp. vi. 152 51 γαννήτορος Ma$^{1}$ ἀδελφοῦ V marg. ed. Heinsii ὁφηγέως om. δὲ Ma$^{2}$ : φη[illegible]γέως Ma$^{1}$ : φυγέως TV : φυσέως marg. ed. Heinsii : φυγισέως P$^{1}$ : θησέως N : Φηγέως Cert. 227 52 ὁ δὲ στησ. . . . 56 ιγ' om. Ma$^{1}$ 53 (post φαλάριδι) ἀστυπαλιεὺς ἦν τῷ γένει ὁ φάλαρις, ὡς αὐτὸς φησὶν ἐν (om. Ma$^{2}$) ἐπιστολαῖς ταῖς αὐτοῦ ⟨ep. iv⟩, τύραννος δὲ ἀκραγαντίνων, ἐγὼ δὲ οὐκ ἠκριβωμένως (ἀκριβολογησάμενος Par. 2774) ἀκραγάντινον ἐκάλεσα τῇ κοινῇ χρώμενος συνηθείᾳ· ἡ δὲ ἀστυπάλη πόλις ἐστὶ τῆς σάμου Ma$^{2}$ O *Ex.* Par. 2707, 2774 τετρακοσίοις ἔτεσιν O 54 ὑστερίζοντα V : -ον cett. et *Ex.* (post ἡρόδοτος) ἀλλὰ καὶ τοὺς χρόνους εἰπόντες ἐν οἷς ἔφασαν ἀνηκμακέναι ἡσίοδον εἴπωμεν καὶ πόσας βίβλους ἐξεπονήσατο : + + + βίβλους μὲν οὖν οὗτος ἑξκαίδεκα συνεγράψατο· ὅμηρος δὲ ὁ παλαιὸς δεκατρεῖς Ma$^{2}$ O *Ex.*

# CERTAMEN HOMERI ET HESIODI

## A

Papyrus s. iii. A. C. *Flinders Petrie Papyri* ed. J. P. Mahaffy, Dublini 1891, p. 70, no. XXV.

*τρο[πον*
*απαντων*
*των κριτων*
*π]ανηδου προε*
*παρελθον*
*[τα ] ησιοδον ερω*
*ταιν κατα τοιαδε υιε*
*μελητος ομηρε θεων απο] μηδεα*
*ειδως ειπ αγε μοι παμπρω]τα τι*
*[φερτατον εστι βροτοισι]ν τον*
*σοιπ*
*επ]η αρ[χην*
*ε]πιχθονιοισι*
*φυντα δ] οπως ωκισ*
*τα πυλας αιδαο περησ]αι επιβα*
*[λομενος δ ο ησιοδ]ος ερωται το*
*[ειπ αγε μοι και το]υτο θε[οις*
*επιεικελ ομηρε τι θν]ητοις καλ[λι*
*στον ε]ιναι ο δ ομη*
*[ρος στιχους*

*δαιτ]υ[μονες δ*
*ανα δωματ ακουαζ]ων[τ]αι*
*θ[ωσι τραπεζαι σιτου και κρειων με]*
*θυ δ [εκ ]οιν[οχο]*
*ος φορεη[σι κ]αι εκχε[ιηι δεπαεσσιν*
*τουτο μοι καλλιστ[ον ειδ]*
*εται ειναι ρηθεν[των δε του]*
*των των επων[*
*φασιν θαυμασθην[αι τους στι]*
*χού υπο των ελλην[ων ωστε χρυ]*
*σους αυτους προσα[γορευθηναι*
*προ των δειπνων και[*
*δων προκατευχοντ[αι παντες ]*
*αχθεσθεις δε ο ησιοδος ε*
*πι την αποριαν της [ερωτησεως]*
*ωρμησεν και λεγει τ[ους στιχους]*
*τουσδε μουσα γε μοι[τα τ εοντα]*
*τα τ εσσομενα προ τ εοντα*
*των μεν μηθεν αειδ[ε συ δ αλλης]*
*μνησαι αοιδης ο δ ομ[ηρος βουλο]*
*μενος λυσαι την απο[ριαν της ε]*
*ρωτησεως αποφε[ τους]*
*στιχους τουσδε[ αμφι]*
*διος τυμβον καν[αχηποδες ιπ]*
*ποι αρμα[τα ερι]*
*ζοντες [περι νικης*
*ομηρου [*

## B

῞Ομηρον καὶ Ἡσίοδον τοὺς θειοτάτους ποιητὰς πάντες ἄνθρωποι πολίτας ἰδίους εὔχονται λέγεσθαι. ἀλλ' Ἡσίοδος μὲν τὴν ἰδίαν ὀνομάσας πατρίδα πάντας τῆς φιλονεικίας ἀπήλλαξεν εἰπὼν ⟨O.D. 639, 640⟩ ὡς ὁ πατὴρ αὐτοῦ

εἵσατο δ' ἄγχ' Ἑλικῶνος ὀιζυρῇ ἐνὶ κώμῃ
῎Ασκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.

3 Themistius or. xxx. infra c. *πᾶσι τοῖς κριταῖς κρατεῖ.*
*Codices* L S 𝔭 (= pap. Dublin.) TITVLVS: *περὶ ὁμήρου καὶ ἡσιόδου καὶ τοῦ γένους καὶ ἀγῶνος αὐτῶν* L 2 *λέγεσθαι*] *γενέσθαι* Barnes
5 *νάσσατο* Hesiodus

῞Ομηρον δὲ πᾶσαι ὡς εἰπεῖν αἱ πόλεις καὶ οἱ ἔποικοι αὐτῶν παρ᾽ ἑαυτοῖς γεγενῆσθαι λέγουσιν. καὶ πρῶτοί γε Σμυρναῖοι Μέλητος ὄντα τοῦ παρ᾽ αὐτοῖς ποταμοῦ καὶ Κρηθηίδος νύμφης κεκλῆσθαί φασι πρότερον Μελησιγένη, ὕστερον μέντοι τυφλωθέντα ῞Ομηρον μετονομασθῆναι διὰ τὴν παρ᾽ αὐτοῖς ἐπὶ τῶν τοιούτων συνήθη προσηγορίαν. Χῖοι δὲ πάλιν τεκμήρια φέρουσιν ἴδιον εἶναι πολίτην λέγοντες καὶ περισῴζεσθαί τινας ἐκ τοῦ γένους αὐτοῦ παρ᾽ αὐτοῖς Ὁμηρίδας καλουμένους. Κολοφώνιοι δὲ καὶ τόπον δεικνύουσιν, ἐν ᾧ φασιν αὐτὸν γράμματα διδάσκοντα τῆς ποιήσεως ἄρξασθαι καὶ ποιῆσαι πρῶτον τὸν Μαργίτην.

περὶ δὲ τῶν γονέων αὐτοῦ πάλιν πολλὴ διαφωνία παρὰ πᾶσίν ἐστιν. Ἑλλάνικος ⟨fr. 6⟩ μὲν γὰρ καὶ Κλεάνθης ⟨fr. 592 Arn.⟩ Μαίονα λέγουσιν, Εὐγαίων ⟨F. H. G. ii. 16⟩ δὲ Μέλητα, Καλλικλῆς δὲ Δμασαγόραν, Δημόκριτος δὲ ὁ Τροιζήνιος Δαήμονα ἔμπορον, ἔνιοι δὲ Θαμύραν, Αἰγύπτιοι δὲ Μενέμαχον ἱερογραμματέα, εἰσὶ δὲ οἳ Τηλέμαχον τὸν Ὀδυσσέως· μητέρα δὲ οἱ μὲν Μῆτιν, οἱ δὲ Κρηθηίδα, οἱ δὲ Θεμίστην, οἱ δὲ Ὑρνηθώ, ἔνιοι δὲ Ἰθακησίαν τινὰ ὑπὸ Φοινίκων ἀπεμποληθεῖσαν, οἱ δὲ Καλλιόπην τὴν Μοῦσαν, τινὲς δὲ Πολυκάστην τὴν Νέστορος. ἐκαλεῖτο δὲ Μέλης, ὡς δέ τινές φασι Μελησιγένης, ὡς δὲ ἔνιοι Ἄλτης. ὀνομασθῆναι δὲ αὐτόν φασί τινες ῞Ομηρον διὰ τὸ

7 ἄποικοι Hermann 8 γε] τὲ L, corr. Steph. 10 κρηϊθίδος L S, corr. Nietzsche μελησιγενῆ L S, cf. 28 17 μαργήτην S, corr. marg. 19 Κλεάνθης] de Neanthe cogitat Arnim (Stoic. fragg. 1905. 133) 20 Μαίονα] /// αίονα L : βίονα (ss. ω) S, corr. Sturz Hellanic. fr. 171 Εὐγαίων] εὐ///αίων L : εὐμαίων S, corr. Meineke Anal. Alex. 61 : Callicles Fabricio ignotus Salaminium Homerum habuit vit. vi. 17 21 μασαγόραν L S : μασσασώραν Tzetz. prooem. 62, corr. Barnes cl. vit. vii. 2, 10 : Μνασαγόραν Rohde Rh Mus. 36. 417 Δημόκριτος] leg. Δημοκρίνης, cf. vit. vi. 28 κατὰ δὲ Δημοκρίνην Ἀλήμονος, schol. A B 744 : Δαήμονα et Tzetzes 62 22 θάμυριν Tzetzes 64 23 μενεμάχην | αἰγύπτιον τυγχάνοντα ἱερογραμματέα Tzetzes 60, 61 /////ρογραμματέα L S, marg. προγραμματέα S, corr. Nauck 25 θεμίτην L S εὐγνηθώ L S, corr. Westermann, cf. vit. iv. 2 28 μελησιγενὴς L S 29 Ἄλτης] αὐλητὴν L S, corr. Welcker cl. Athenocr. ap. schol. T X 51

τὸν πατέρα αὐτοῦ ὅμηρον δοθῆναι ὑπὸ Κυπρίων Πέρσαις, οἱ δὲ διὰ τὴν πήρωσιν τῶν ὀμμάτων· παρὰ γὰρ τοῖς Αἰολεῦσιν οὕτως οἱ πηροὶ καλοῦνται. ὅπερ δὲ ἀκηκόαμεν ἐπὶ τοῦ θειοτάτου αὐτοκράτορος Ἀδριανοῦ εἰρημένον ὑπὸ τῆς Πυθίας περὶ Ὁμήρου, ἐκθησόμεθα. τοῦ γὰρ βασιλέως πυθομένου πόθεν Ὅμηρος καὶ τίνος, ἀπεφοίβασε δι' ἑξαμέτρου τόνδε τὸν τρόπον·

> ἄγνωστόν μ' ἔρεαι γενεὴν καὶ πατρίδα γαῖαν
> ἀμβροσίου σειρῆνος. ἕδος δ' Ἰθακήσιός ἐστιν,
> Τηλέμαχος δὲ πατὴρ καὶ Νεστορέη Ἐπικάστη
> μήτηρ, ἥ μιν ἔτικτε βροτῶν πολὺ πάνσοφον ἄνδρα.

οἷς μάλιστα δεῖ πιστεύειν διά τε τὸν πυθόμενον καὶ τὸν ἀποκρινάμενον, ἄλλως τε οὕτως τοῦ ποιητοῦ μεγαλοφυῶς τὸν προπάτορα διὰ τῶν ἐπῶν δεδοξακότος.

ἔνιοι μὲν οὖν αὐτὸν προγενέστερον Ἡσιόδου φασὶν εἶναι, τινὲς δὲ νεώτερον καὶ συγγενῆ. γενεαλογοῦσι δὲ οὕτως· Ἀπόλλωνός φασι καὶ Θοώσης τῆς Ποσειδῶνος γενέσθαι Λίνον, Λίνου δὲ Πίερον, Πιέρου δὲ καὶ νύμφης Μεθώνης Οἴαγρον, Οἰάγρου δὲ καὶ Καλλιόπης Ὀρφέα, Ὀρφέως δὲ Ὄρτην, τοῦ δὲ Ἁρμονίδην, τοῦ δὲ Φιλοτέρπην, τοῦ δὲ Εὔφημον, τοῦ δὲ Ἐπιφράδην, τοῦ δὲ Μελάνωπον, τούτου δὲ Δῖον καὶ Ἀπέλλαιον, Δίου δὲ καὶ Πυκιμήδης τῆς Ἀπόλλωνος θυγατρὸς Ἡσίοδον καὶ Πέρσην· Πέρσου δὲ Μαίονα, Μαίονος δὲ θυγατρὸς καὶ Μέλητος τοῦ ποταμοῦ Ὅμηρον.

τινὲς δὲ συνακμάσαι φασὶν αὐτοὺς ὥστε καὶ ἀγωνίσασθαι ὁμόσε ἐν Αὐλίδι τῆς Βοιωτίας, ποιήσαντα γὰρ τὸν Μαργίτην Ὅμηρον περιέρχεσθαι κατὰ πόλιν ῥαψῳδοῦντα, ἐλθόντα δὲ καὶ εἰς Δελφοὺς περὶ τῆς πατρίδος αὐτοῦ πυνθάνεσθαι τίς εἴη, τὴν δὲ Πυθίαν εἰπεῖν·

33 ἀδιανοῦ L S, corr. S marg. 39 Πολυκάστη γ 464, cf. 27 45 δὲ alterum] τε codd. corr. West. 46 Θοώσης] Αἰθούσης Charax in vit. Suidea 49 Ὄρτην] Δρῆν Charax Ἁρμονίδην] Ἰδμονίδης Char. vit. Proc. 100. 4 51 Ἀπελλῆς Charax 53 καὶ θυγατρὸς Nietzsche 55 ἐν Χαλκίδι τῆς Εὐβοίας Nietzsche 56 πόλιν (ss. εις) S : πόλεις S marg.

ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι.

τὸν δὲ ἀκούσαντα περιίστασθαι μὲν τὴν εἰς Ἴον ἄφιξιν, διατρίβειν δὲ περὶ τὴν ἐκεῖ χώραν. κατὰ δὲ τὸν αὐτὸν χρόνον Γανύκτωρ ἐπιτάφιον τοῦ πατρὸς Ἀμφιδάμαντος βασιλέως Εὐβοίας ἐπιτελῶν πάντας τοὺς ἐπισήμους ἄνδρας οὐ μόνον ῥώμῃ καὶ τάχει, ἀλλὰ καὶ σοφίᾳ ἐπὶ τὸν ἀγῶνα μεγάλαις δωρεαῖς τιμῶν συνεκάλεσεν. καὶ οὗτοι οὖν ἐκ τύχης, ὥς φασι, συμβαλόντες ἀλλήλοις ἦλθον εἰς τὴν Χαλκίδα. τοῦ δὲ ἀγῶνος ἄλλοι τέ τινες τῶν ἐπισήμων Χαλκιδέων ἐκαθέζοντο κριταὶ καὶ μετ' αὐτῶν Πανήδης, ἀδελφὸς ὢν τοῦ τετελευτηκότος. ἀμφοτέρων δὲ τῶν ποιητῶν θαυμαστῶς ἀγωνισαμένων νικῆσαί φασι τὸν Ἡσίοδον τὸν τρόπον τοῦτον· προελθόντα γὰρ εἰς τὸ μέσον πυνθάνεσθαι τοῦ Ὁμήρου καθ' ἓν ἕκαστον, τὸν δὲ Ὅμηρον ἀποκρίνασθαι. φησὶν οὖν Ἡσίοδος·

υἱὲ Μέλητος Ὅμηρε θεῶν ἄπο μήδεα εἰδὼς
εἴπ' ἄγε μοι πάμπρωτα τί φέρτατόν ἐστι βροτοῖσιν;

Ὅμηρος·

ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
φύντα δ' ὅμως ὤκιστα πύλας Ἀίδαο περῆσαι.

Ἡσίοδος τὸ δεύτερον·

εἴπ' ἄγε μοι καὶ τοῦτο θεοῖς ἐπιείκελ' Ὅμηρε,
τί θνητοῖς κάλλιστον ὀίεαι ἐν φρεσὶν εἶναι;

ὁ δέ·

ὁππότ' ἂν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ

59, 60 = Anth. Pal. xiv. 65, vit. Plut. 48 ubi v. 60 παίδων] ἀνδρῶν Plut. 67 τὴν om. S 69 πανοίδης L : γανοίδης S : πανίδης Philostr. Her. xvii. 2, corr. Rzach, cf. 𝔭[4] 72 ΠΑΡΕΛΘΟΝ[τ 𝔭[5] 78, 79 cit. Stobaeus cxx. 3 ut ἐκ τοῦ Ἀλκιδάμαντος μουσείου (χαλκιδάμαντος μουσίου cod.), cf. Theog. 425 πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον, μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου· φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι 79 ὅμως] ὅπως 𝔭 Stob. Theognis, cf. Simon. Amorg. i. 5 82 θνητοῖσιν ἄοιστον LS : θν]ΗΤΟΙΣ ΚΑΛ[ 𝔭 rest. Rzach 84–89 = ι 6–11

ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσιν.
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

ῥηθέντων δὲ τούτων τῶν ἐπῶν, οὕτω σφοδρῶς φασι θαυμασθῆναι τοὺς στίχους ὑπὸ τῶν Ἑλλήνων ὥστε χρυσοῦς αὐτοὺς προσαγορευθῆναι, καὶ ἔτι καὶ νῦν ἐν ταῖς κοιναῖς θυσίαις πρὸ τῶν δείπνων καὶ σπονδῶν προκατεύχεσθαι πάντας. ὁ δὲ Ἡσίοδος ἀχθεσθεὶς ἐπὶ τῇ Ὁμήρου εὐημερίᾳ ἐπὶ τὴν τῶν ἀπόρων ὥρμησεν ἐπερώτησιν καί φησι τούσδε τοὺς στίχους·

Μοῦσ' ἄγε μοι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα
τῶν μὲν μηδὲν ἄειδε, σὺ δ' ἄλλης μνῆσαι ἀοιδῆς.

ὁ δὲ Ὅμηρος βουλόμενος ἀκολούθως τὸ ἄπορον λῦσαι φησίν·

οὐδέ ποτ' ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
ἅρματα συντρίψουσιν ἐρίζοντες περὶ νίκης.

καλῶς δὲ καὶ ἐν τούτοις ἀπαντήσαντος ἐπὶ τὰς ἀμφιβόλους γνώμας ὥρμησεν ὁ Ἡσίοδος, καὶ πλείονας στίχους λέγων ἠξίου καθ' ἕνα ἕκαστον συμφώνως ἀποκρίνασθαι τὸν Ὅμηρον. ἔστιν οὖν ὁ μὲν πρῶτος Ἡσιόδου, ὁ δὲ ἑξῆς Ὁμήρου, ἐνίοτε δὲ καὶ διὰ δύο στίχων τὴν ἐπερώτησιν ποιουμένου τοῦ Ἡσιόδου·

δεῖπνον ἔπειθ' εἵλοντο βοῶν κρέα καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμοιο κορέσθην.

89 τί om. 𝔭  91 τοὺς στίχους] τὰ ἔπη L S : . . . . . ΧΟΥ (ss. C) 𝔭 rest. Rzach  92 post αὐτοὺς add. στίχους S marg.  95 ἀπήρων L S, corr. S marg.  97–101 cf. Plut. l. c. f. 218  97 ΜΟΥϹΑ ΓΕ 𝔭, cf. 76, 81 Stesich. 44. 1 ἄγε Μοῦσα λίγει' ἄρξον ἀοιδᾶς, Alcman i. 1 μῶσ' ἄγε μῶσα λίγεια, xcv. 1, Sappho xlv. 1 : μοῦσ' ἄγε perperam Nietzsche  98 ΜΗΘΕΝ 𝔭  100 ΤΥΜΒΟΝ 𝔭  καναχήποδες ἵπποι om. L S : expleverat Barnes coll. Plut. l. c. f. 218, confirmat $\mathfrak{p}^{45}$  101 ἐρίζοντες] ἐπειγόμενοι Plut.  107, 108 cf. Ar. Pac. 1282

ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας ἐπεὶ πολέμου ἐκόρεσθεν

108 πτολέμου L S : πολέμοιο ed. Steph.

καὶ Φρύγες, οἳ πάντων ἀνδρῶν ἐπὶ νηυσὶν ἄριστοι
ἀνδράσι ληιστῆρσιν ἐπ' ἀκτῆς δόρπον ἑλέσθαι.

Ἡρακλέης ἀπέλυσεν ἀπ' ὤμων καμπύλα τόξα
χερσὶ βαλὼν ἰοῖσιν ὅλων κατὰ φῦλα γιγάντων.

οὗτος ἀνὴρ ἀνδρός τ' ἀγαθοῦ καὶ ἀνάλκιδός ἐστι
μητρός, ἐπεὶ πόλεμος χαλεπὸς πάσῃσι γυναιξίν.

οὔτ' ἄρ σοί γε πατὴρ ἐμίγη καὶ πότνια μήτηρ·
σῶμα τό γ' ἐσπείραντο διὰ χρυσέην Ἀφροδίτην.

αὐτὰρ ἐπεὶ δμήθη γάμῳ Ἄρτεμις ἰοχέαιρα
Καλλιστὼ κατέπεφνεν ἀπ' ἀργυρέοιο βιοῖο.

ὣς οἳ μὲν δαίνυντο πανήμεροι, οὐδὲν ἔχοντες
οἴκοθεν, ἀλλὰ παρεῖχεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

δεῖπνον δειπνήσαντες ἐνὶ σποδῷ αἰθαλοέσσῃ
σύλλεγον ὀστέα λευκὰ Διὸς κατατεθνηῶτος
παιδὸς ὑπερθύμου Σαρπηδόνος ἀντιθέοιο.

ἡμεῖς δ' ἂμ πεδίον Σιμοέντιον ἥμενοι αὔτως
ἴομεν ἐκ νηῶν ὁδὸν ἀμφ' ὤμοισιν ἔχοντες
φάσγανα κωπήεντα καὶ αἰγανέας δολιχαύλους.

δὴ τότ' ἀριστῆες κοῦροι χείρεσσι θαλάσσης
ἄσμενοι ἐσσυμένως τε ἀπείρυσαν ὠκύαλον ναῦν.

Κολχίδ' ἔπειθ' ἵκοντο καὶ Αἰήτην βασιλῆα
φεῦγον, ἐπεὶ γίγνωσκον ἀνέστιον ἠδ' ἀθέμιστον.

αὐτὰρ ἐπεὶ σπεῖσάν τε καὶ ἔκπιον οἶδμα θαλάσσης
ποντοπορεῖν ἤμελλον ἐυσσέλμων ἐπὶ νηῶν.

τοῖσιν δ' Ἀτρεΐδης μεγάλ' εὔχετο πᾶσιν ὀλέσθαι
μηδέ ποτ' ἐν πόντῳ, καὶ φωνήσας ἔπος ηὔδα·
ἐσθίετ' ὦ ξεῖνοι, καὶ πίνετε· μηδέ τις ὑμῶν

111 post 112 leg. Nietzsche 112 *ἰοὺς* Nietzsche *ὅλλων* L: *οὔλων* Rzach: *ὠμῶν* Nietzsche cf. Soph. Aj. 1105 116 *τό γε σπείραντε* Boissonade *χρυσῆν* codd. 118 *ἀργυρίοιο* codd. 122 *Διὸς*] *βοὸς* Steph. 124 *οὔτως* codd. em. Barnes

οἴκαδε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν
πημανθείς, ἀλλ' αὖτις ἀπήμονες οἴκαδ' ἵκοισθε.

πρὸς πάντα δὲ τοῦ Ὁμήρου καλῶς ἀπαντήσαντος πάλιν φησὶν ὁ Ἡσίοδος·

τοῦτό τι δή μοι μοῦνον ἐειρομένῳ κατάλεξον,
πόσσοι ἅμ' Ἀτρείδῃσιν ἐς Ἴλιον ἦλθον Ἀχαιοί;

ὁ δὲ διὰ λογιστικοῦ προβλήματος ἀποκρίνεται οὕτως·

πεντήκοντ' ἦσαν πυρὸς ἐσχάραι, ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

τοῦτο δὲ εὑρίσκεται πλῆθος ἄπιστον· τῶν γὰρ ἐσχαρῶν οὐσῶν πεντήκοντα ὀβελίσκοι γίνονται πεντακόσιοι καὶ χιλιάδες β', κρεῶν δὲ δεκαδύο μυριάδες, ͵ε . . . κατὰ πάντα δὴ τοῦ Ὁμήρου ὑπερτεροῦντος φθονῶν ὁ Ἡσίοδος ἄρχεται πάλιν·

υἱὲ Μέλητος Ὅμηρ' εἴ περ τιμῶσί σε Μοῦσαι,
ὡς λόγος, ὑψίστοιο Διὸς μεγάλοιο θύγατρες,
λέξον μέτρον ἐναρμόζων ὅ τι δὴ θνητοῖσι
κάλλιστόν τε καὶ ἔχθιστον· ποθέω γὰρ ἀκοῦσαι.

ὁ δέ φησι·

Ἡσίοδ' ἔκγονε Δίου ἑκόντα με ταῦτα κελεύεις
εἰπεῖν· αὐτὰρ ἐγὼ μάλα τοι πρόφρων ἀγορεύσω.
κάλλιστον μὲν τῶν ἀγαθῶν ἔσται μέτρον εἶναι
αὐτὸν ἑαυτῷ, τῶν δὲ κακῶν ἔχθιστον ἁπάντων.
ἄλλο δὲ πᾶν ὅ τι σῷ θυμῷ φίλον ἐστὶν ἐρώτα.

πῶς ἂν ἄριστ' οἰκοῖντο πόλεις καὶ ἐν ἤθεσι ποίοις;

137 *αὖθις* codd. 148 ita West. ͵*εῦν̄* L : *εῦν̄* S *quum carnes sint* 125000, *milites autem* 112500000, *videtur scripsisse auctor κρεῶν δὲ δεκαδύο μυριάδες καὶ χιλιάδες ε'· Ἀχαιῶν δὲ ἐνδεκακισχιλίαι καὶ διακοσίαι καὶ ν' μυριάδες* Boissonade 153 *ἐναρμόζον* codd. corr. Boissonade 154 *τε* om. codd. ib. *θεω* L S, marg. *ἴσως ποθέω* 159 post h. v. versus *εὔνουν εἶναι ἑαυτῷ ἀεὶ χρόνον ἐς τὸν ἅπαντα* [165] posuit ed. Steph. om. L : **hic ponendus versus* *εὔνουν* marg. S

*εἰ μὴ κερδαίνειν ἀπὸ τῶν αἰσχρῶν ἐθέλοιεν,*
*οἱ δ' ἀγαθοὶ τιμῷντο, δίκη δ' ἀδίκοισιν ἐπείη.*

*εὔχεσθαι δὲ θεοῖς ὅ τι πάντων ἐστὶν ἄμεινον;*
*εὔνουν εἶναι ἑαυτῷ ⟨ἀεὶ⟩ χρόνον ἐς τὸν ἅπαντα.*

*ἐν δ' ἐλαχίστῳ ἄριστον ἔχεις ὅ τι φύεται εἰπεῖν;*
*ὡς μὲν ἐμῇ γνώμῃ φρένες ἐσθλαὶ σώμασιν ἀνδρῶν.*

*ἡ δὲ δικαιοσύνη τε καὶ ἀνδρείη δύναται τί;*
*κοινὰς ὠφελίας ἰδίοις μόχθοισι πορίζειν.*

*τῆς σοφίης δὲ τί τέκμαρ ἐπ' ἀνθρώποισι πέφυκεν;*
*γιγνώσκειν τὰ παρόντ' ὀρθῶς, καιρῷ δ' ἅμ' ἕπεσθαι.*

*πιστεῦσαι δὲ βροτοῖς ποῖον χρέος ἄξιόν ἐστιν;*
*οἷς αὐτὸς κίνδυνος ἐπὶ πραχθεῖσιν ἕπηται.*

*ἡ δ' εὐδαιμονίη τί ποτ' ἀνθρώποισι καλεῖται;*
*λυπηθέντ' ἐλάχιστα θανεῖν ἡσθέντα τε πλεῖστα.*

*ῥηθέντων δὲ καὶ τούτων, οἱ μὲν Ἕλληνες πάντες τὸν Ὅμηρον ἐκέλευον στεφανοῦν, ὁ δὲ βασιλεὺς Πανήδης ἐκέλευσεν ἕκαστον τὸ κάλλιστον ἐκ τῶν ἰδίων ποιημάτων εἰπεῖν. Ἡσίοδος οὖν ἔφη πρῶτος·*

*Πληιάδων Ἀτλαγενέων ἐπιτελλομενάων*
*ἄρχεσθ' ἀμήτου, ἀρότοιό τε δυσομενάων·*
*αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα*
*κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ*
*φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.*
*οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης*
*ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα*
*πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον*

163 *τιμοῖντο* codd.: em. Rzach 165 *εὔνουν εἶναι ἑαυτῶ χρόνον ἐς τὸν ἅπαντα* L: *ἑαυτῶ ἀεὶ χρόνον* S, marg. *δεῖ*, atque *εὔνουν versus ille refertur ad asteriscum* 166 *ἔχειν σ'* codd. corr. Hutchinson 173 *ἔπι* S marg.: *ἔτι* L S 175 *τε* om. codd. 177 *πανοίδης* codd., cf. 69 180 sqq. = Hes. O.D. 383 sqq., cf. Philostr. Heroic. xviii. 2, Themist. or. xxx. 348 181 *ἀμητοῖο* S v. ad O.D. 384 Rz. 183 *αὖθις* codd. 186 *δ' ἄγγεα* codd.

ναίουσιν· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,
γυμνόν τ᾽ ἀμάειν, ὅτ᾽ ἂν ὥρια πάντα πέλωνται.

μεθ᾽ ὃν Ὅμηρος·

ἀμφὶ δ᾽ ἄρ᾽ Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ᾽ ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν
οὔτε κ᾽ Ἀθηναίη λαοσσόος. οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ·
ἀσπὶς δ᾽ ἀσπίδ᾽ ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ᾽ ἀνήρ,
ψαῦον δ᾽ ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
ἔφριξεν δὲ μάχη φθεισίμβροτος ἐγχείῃσι
μακραῖς, ἃς εἶχον ταμεσίχροας. ὄσσε δ᾽ ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. μάλα κεν θρασυκάρδιος εἴη
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ᾽ ἀκάχοιτο.

θαυμάσαντες δὲ καὶ ἐν τούτῳ τὸν Ὅμηρον οἱ Ἕλληνες ἐπῄνουν, ὡς παρὰ τὸ προσῆκον γεγονότων τῶν ἐπῶν, καὶ ἐκέλευον διδόναι τὴν νίκην. ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνωσεν εἰπὼν δίκαιον εἶναι τὸν ἐπὶ γεωργίαν καὶ εἰρήνην προκαλούμενον νικᾶν, οὐ τὸν πολέμους καὶ σφαγὰς διεξιόντα. τῆς μὲν οὖν νίκης οὕτω φασὶ τυχεῖν τὸν Ἡσίοδον καὶ λαβόντα τρίποδα χαλκοῦν ἀναθεῖναι ταῖς Μούσαις ἐπιγράψαντα·

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ᾽ ἀνέθηκεν
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

τοῦ δὲ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος εἰς Δελφοὺς χρησόμενος καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθή-

189 γυμνούς θ᾽ codd. 191 sqq. = N 126 sqq., 339 sqq. 196 ἀσπὶς ἄρ᾽ Homerus 206 ἐπείνουν L 213, 214 = Anth. Pal. vii. 53, Dio Prus. ii. 11, Proc. 101. 10, 11, cf. Paus. ix. 31. 3 213 ἀνέθηκα Anth.

σων. προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ ἔνθεον γενομένην τὴν προφῆτίν φασιν εἰπεῖν·

ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσιν·
τοῦ δ' ἦ τοι κλέος ἔσται ὅσην τ' ἐπικίδναται ἠώς.
ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

ὁ δὲ Ἡσίοδος ἀκούσας τοῦ χρησμοῦ, τῆς Πελοποννήσου μὲν ἀνεχώρει νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν, εἰς δὲ Οἰνόην τῆς Λοκρίδος ἐλθὼν καταλύει παρ' Ἀμφιφάνει καὶ Γανύκτορι, τοῖς Φηγέως παισίν, ἀγνοήσας τὸ μαντεῖον. ὁ γὰρ τόπος οὗτος ἅπας ἐκαλεῖτο Διὸς Νεμείου ἱερόν. διατριβῆς δὲ αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰνοεῦσιν ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος ἑορτῆς τινος ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον καὶ τὸ σῶμα γνωρίσαντες ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν. οἱ δὲ φοβηθέντες τὴν τῶν πολιτῶν ὀργὴν κατασπάσαντες ἁλιευτικὸν σκάφος διέπλευσαν εἰς Κρήτην. οὓς κατὰ μέσον τὸν πλοῦν ὁ Ζεὺς κεραυνώσας κατεπόντωσεν, ὥς φησιν Ἀλκιδάμας ἐν Μουσείῳ. Ἐρατοσθένης δέ φησιν ἐν †ἐνηπόδῳ† Κτίμενον καὶ Ἄντιφον τοὺς Γανύκτορος ἐπὶ τῇ προειρημένῃ αἰτίᾳ ἀνελόντας σφαγιασθῆναι θεοῖς τοῖς

219–223 = vit. Hes. 96–100 Rz. 220 *μούσαις τετιμημένος* vit. Hes. 221 *ὅσην* L Aristarchus ad H 451 222 *προφυλάξω* (ss. *πε*) S *κάλλιστον* S : *κάλλιμον* ex *στον* L : *μ*, *πάγσκιον* S marg. 223 *καὶ* (*'κεῖ* P²) *γάρ τοι* vit. Hes. 226 *ἐν οἰώνῃ* P² vit. Hes. 230 *οἰνῶσιν* L : corr. Friedel 232 *εὐβοίας* L S vit. Hes. : *Ἀχαίας* Westermann : *Βοιωτίας* Nietzsche 241 *ἐν ἐνηπόδω* L S : *ἐν Ἡσιόδῳ* Göttling : *ἐν Ἀνδραπόδῳ* Barnes : *ἐν Ἠριγόνῳ* Holsten : *ἐν Οἰνόης πόλει* K. Müller : *ἐν ἐνάτῃ Ὀλυμπιάδι* Bernhardy, cf. Hiller *Eratosthen. carm. rel.* 1872. p. 82 sq., Friedel l. c. p. 237 242 *ἀνελόντας* L : *ἀνελθόντας* S ed. Steph. : *ἐναλόντας* Friedel *θεοῖς* L : *θ* (ss. *θεοι*) *μοῖς* S : *θεσμοῖς* ed. Steph.

*ξενίοις ὑπ' Εὐρυκλέους τοῦ μάντεως. τὴν μέντοι παρθένον τὴν ἀδελφὴν τῶν προειρημένων μετὰ τὴν φθορὰν ἑαυτὴν ἀναρτῆσαι, φθαρῆναι δὲ ὑπό τινος ξένου συνόδου τοῦ Ἡσίοδου Δημώδους ὄνομα· ὃν καὶ αὐτὸν ἀναιρεθῆναι ὑπὸ τῶν αὐτῶν φησιν. ὕστερον δὲ Ὀρχομένιοι κατὰ χρησμὸν μετενέγκαντες αὐτὸν παρ' αὐτοῖς ἔθαψαν καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ·*

*Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος*
*ὀστέα πλήξιππων γῆ Μινυὰς κατέχει*
*Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν*
*ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.*

*καὶ περὶ μὲν Ἡσιόδου τοσαῦτα· ὁ δὲ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαίδα ἔπη ,ζ ἧς ἡ ἀρχή·*

*Ἄργος ἄειδε θεὰ πολυδίψιον ἔνθεν ἄνακτες·*

*εἶτα Ἐπιγόνους ἔπη ,ζ ὧν ἡ ἀρχή·*

*νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα Μοῦσαι.*

*φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. ἀκούσαντες δὲ τῶν ἐπῶν οἱ Μίδου τοῦ βασιλέως παῖδες Ξάνθος καὶ Γόργος παρακαλοῦσιν αὐτὸν ἐπίγραμμα ποιῆσαι ἐπὶ τοῦ τάφου τοῦ πατρὸς αὐτῶν, ἐφ' οὗ ἦν παρθένος χαλκῆ τὸν Μίδου θάνατον οἰκτιζομένη. καὶ ποιεῖ οὕτως·*

*χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματος ἧμαι.*
*ἔς τ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ*
*καὶ ποταμοὶ πλήθωσι, περικλύζῃ δὲ θάλασσα,*
*ἠέλιος δ' ἀνιὼν φαίνῃ λαμπρά τε σελήνη,*

246 *δημώδους* L *τρωίλου ὄνομα* Nietzsche 250–253 = Anth. Pal. vii. 54 (*Μνασάλκου*) Paus. ix. 38. 4 (ib. 9 *τούτου δὲ τοῦ Χερσίου καὶ ἐπίγραμμα οἱ Ὀρχομένιοι τὸ ἐπὶ τῷ Ἡσιόδου τάφῳ μνημονεύουσιν*) vit. Hes. 112–115 Rz. 251 hab. Aristotelis Peplos 19. 2 *πληξίππων* L S Paus. Pepl. Anth.: *πληξίππου* vit. Hes. *μινυῶν* Paus. Anth. 252 *ἐν Ἑλλάδι κῦδος ὀρεῖται* Paus. 253 *βασάνοις* vit. Hes. 256 ξ codd., ut et 258, em. Hermann 258 *Ἐπιγόνους*] *ἐπειγομένου* codd. em. Barnes 265–270 inf. = vit. Herod. 135–140 ubi v. auctores

αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ
σημανέω παριοῦσι Μίδης ὅτι τῇδε τέθαπται.

λαβὼν δὲ παρ' αὐτῶν φιάλην ἀργυρᾶν ἀνατίθησιν ἐν Δελφοῖς τῷ Ἀπόλλωνι, ἐπιγράψας

Φοῖβε ἄναξ δῶρόν τοι Ὅμηρος καλὸν ἔδωκα
σῇσιν ἐπιφροσύναις· σὺ δέ μοι κλέος αἰὲν ὀπάζοις.

μετὰ δὲ ταῦτα ποιεῖ τὴν Ὀδύσσειαν ἔπη μ,β', πεποιηκὼς ἤδη τὴν Ἰλιάδα ἐπῶν μ,εφ'. παραγενόμενον δὲ ἐκεῖθεν εἰς Ἀθήνας αὐτὸν ξενισθῆναί φασι παρὰ Μέδοντι τῷ βασιλεῖ τῶν Ἀθηναίων. ἐν δὲ τῷ βουλευτηρίῳ ψύχους ὄντος καὶ πυρὸς καιομένου σχεδιάσαι λέγεται τούσδε τοὺς στίχους·

ἀνδρὸς μὲν στέφανοι παῖδες, πύργοι δὲ πόληος,
ἵπποι δ' αὖ πεδίου κόσμος, νῆες δὲ θαλάσσης,
λαὸς δ' εἰν ἀγορῇσι καθήμενος εἰσοράασθαι.
αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι
ἤματι χειμερίῳ ὁπότ' ἂν νείφῃσι Κρονίων.

ἐκεῖθεν δὲ παραγενόμενος εἰς Κόρινθον ἐρραψῴδει τὰ ποιήματα. τιμηθεὶς δὲ μεγάλως παραγίνεται εἰς Ἄργος καὶ λέγει ἐκ τῆς Ἰλιάδος τὰ ἔπη τάδε·

οἳ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν
Ἑρμιόνην Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας,
Τροιζῆν' Ἠιόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον
νῆσόν τ' Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν,
τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
Τυδεΐδης οὗ πατρὸς ἔχων μένος Οἰνεΐδαο,

273, 274 = Tzetzes prol. in Lycophr. f. 3. vv. 21–23 Scheer  273 ἑλὼν ὁ Ὅμηρος ἔδωκα Tzetzes  274 ἧσιν ἐπ' εὐφροσύναις Tzetzes  275 μ β φ L, β ex ι ut vid. correcta : em. Nietzsche  276 με L : μ ἴσως μυριάδας S marg. : μ,εφ' Nietzsche  παραγενόμενος codd. em. Westermann  281–5 = vit. Herod. 425–429 ubi v. auctores, Suid. 113 sqq.  289 sqq. = B 559–568  290 ἑρμιόνην τ' codd.  ἀσί[illegible]ην L idem V[1] et E. M. B 560  292 αἴγινάν τε L S  οἵ τ' ἔχον αἴγιναν marg. S ut B 562 : lectionem Certaminis habent Hes. fr. 96. 7, Strabo 375 (γράφουσί τινες)  294 *hic versus non est apud homerum in vulg. edit.* S marg.

*καὶ Σθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός·*
*τοῖσι δ' ἅμ' Εὐρύπυλος τρίτατος κίεν ἰσόθεος φώς,*
*Μηκιστέως υἱὸς Ταλαϊονίδαο ἄνακτος.*
*ἐκ πάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης.*
*τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο·*
*ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο*
*Ἀργέιοι λινοθώρηκες, κέντρα πτολέμοιο.*

*τῶν δὲ Ἀργείων οἱ προεστηκότες ὑπερβολῇ χαρέντες ἐπὶ τῷ ἐγκωμιάζεσθαι τὸ γένος αὐτῶν ὑπὸ τοῦ ἐνδοξοτάτου τῶν ποιητῶν, αὐτὸν μὲν πολυτελέσι δωρεαῖς ἐτίμησαν, εἰκόνα δὲ χαλκῆν ἀναστήσαντες ἐψηφίσαντο θυσίαν ἐπιτελεῖν Ὁμήρῳ καθ' ἡμέραν καὶ κατὰ μῆνα καὶ κατ' ἐνιαυτὸν ⟨καὶ⟩ ἄλλην θυσίαν πενταετηρίδα εἰς Χίον ἀποστέλλειν. ἐπιγράφουσι δὲ ἐπὶ τῆς εἰκόνος αὐτοῦ*

*θεῖος Ὅμηρος ὅδ' ἐστὶν ὃς Ἑλλάδα τὴν μεγάλαυχον*
  *πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ,*
*ἔξοχα δ' Ἀργείους, οἳ τὴν θεοτείχεα Τροίην*
  *ἤρειψαν ποινὴν ἠυκόμου Ἑλένης.*
*οὗ χάριν ἔστησεν δῆμος μεγαλόπτολις αὐτὸν*
  *ἐνθάδε καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.*

*ἐνδιατρίψας δὲ τῇ πόλει χρόνον τινὰ διέπλευσεν εἰς Δῆλον εἰς τὴν πανήγυριν. καὶ σταθεὶς ἐπὶ τὸν κεράτινον βωμὸν λέγει ὕμνον εἰς Ἀπόλλωνα οὗ ἡ ἀρχή*

*μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.*

*ῥηθέντος δὲ τοῦ ὕμνου οἱ μὲν Ἴωνες πολίτην αὐτὸν κοινὸν ἐποιήσαντο, Δήλιοι δὲ γράψαντες τὰ ἔπη εἰς λεύκωμα ἀνέθηκαν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ. τῆς δὲ πανηγύρεως λυθείσης ὁ ποιητὴς εἰς Ἴον ἔπλευσε πρὸς Κρεώφυλον κἀκεῖ*

296 *Εὐρύαλος* B 565 praeter V 27 297 *Μηκιστέος* B 566 (*μηκιστεω* 𝔓 38) 298 *συμπάντων* B 567 300, 301 om. Homerus : versus fortasse Hesiodei 307 *καὶ* add. Westermann 309 *μεγαλαύχην* codd. em. Barnes 310 *καλλιεπίηι σοφίηι τε* codd., corr. S marg. 312 *ποινῆς* . . . . L em. Barnes 313 *μεγαλόπολις* L, corr. S ss. 316 *κερατίνον* L 322 *κρεόφυλον* L

*χρόνον διέτριβε πρεσβύτης ὢν ἤδη. ἐπὶ δὲ τῆς θαλάσσης καθήμενος παίδων τινῶν ἀφ' ἁλείας ἐρχομένων ὥς φασι πυθόμενος*

> *ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες ἦ ῥ' ἔχομέν τι;*

*εἰπόντων δὲ ἐκείνων*

> *ὅσσ' ἕλομεν λιπόμεσθα, ὅσ' οὐχ ἕλομεν φερόμεσθα,*

*οὐ νοήσας τὸ λεχθὲν ἤρετο αὐτοὺς ὅ τι λέγοιεν. οἱ δέ φασιν ἐν ἁλείᾳ μὲν ἀγρεῦσαι μηδέν, ἐφθειρίσθαι δέ, καὶ τῶν φθειρῶν οὓς ἔλαβον καταλιπεῖν, οὓς δὲ οὐκ ἔλαβον ἐν τοῖς ἱματίοις φέρειν. ἀναμνησθεὶς δὲ τοῦ μαντείου ὅτι τὸ τέλος αὐτοῦ ἥκοι τοῦ βίου, ποιεῖ τὸ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα. ἀναχωρῶν δὲ ἐκεῖθεν, ὄντος πηλοῦ ὀλισθὼν καὶ πεσὼν ἐπὶ τὴν πλευράν, τριταῖος ὥς φασι τελευτᾷ· καὶ ἐτάφη ἐν Ἴῳ. ἔστι δὲ τὸ ἐπίγραμμα τόδε·*

> *ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,*
> *ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.*

## PLVTARCHI DE HOMERO LIBRORVM PARS

Plutarchi curas homericas testantur hi auctores;

Galenus v. 300 K *δέον γὰρ ὡς ἄνθρωπον ἀνεγνωκότα τοσούτους ποιητὰς καὶ γινώσκοντα σαφῶς ἅπασι τοῖς δόγμασιν αὐτοῦ μαρτυροῦντας ἄλλοις κατ' ἄλλα τῶν ἐπῶν, ὥσπερ καὶ* Πλούταρχος *ἐπέδειξεν ἐν τοῖς τῶν* Ὁμηρικῶν *μελετῶν . . .*

Gellius ii. 8 *Plutarchus secundo librorum quos de Homero composuit, imperfecte atque praepostere atque inscite syllogismo esse usum Epicurum dicit cet.*

326 Proc. 100. 16, vit. iv. 20, v. 40, Tzetzes Ex. Il. 37. 22 : ἁλιήτορες vit. iv, v Tzetzes ἆρ' Proc. 328 = vit. Herod. 499 ubi v. auctores ὃς L S 337, 338 = vit. Herod. 515, 516 ubi v. auctores

ib. 9 *in eodem libro idem Plutarchus eundem Epicurum reprehendit quod verbo usus sit parum proprio et alienae significationis cet.*

iv. 11 *Plutarchus quoque, homo in disciplinis gravi auctoritate, in primo librorum quos de Homero composuit, Aristotelem philosophum scripsit eadem ipsa de Pythagoricis scripsisse quod non abstinuerint edundis animalibus nisi pauca carne quadam. verba ipsa Plutarchi quoniam res inopinata est subscripsi:* Ἀριστοτέλης δὲ μήτρας καὶ καρδίας καὶ ἀκαλήφης καὶ τοιούτων τινῶν ἄλλων ἀπέχεσθαί φησι τοὺς Πυθαγορικούς, χρῆσθαι δὲ τοῖς ἄλλοις.

schol. A in O 625, E. M. in Ἀνεμοτρεφὲς κῦμα· . . . οἷς δὲ προσπίπτει τραχὺς ἀὴρ καὶ ἀνεμώδης ταῦτα ταῖς τῶν πνευμάτων τριβόμενα πληγαῖς εὔτονον καὶ δύσθραυστον ἔχει τὴν στερρότητα, ὥς φησι Πλούταρχος ἐν μελέταις Ὁμηρικαῖς.

schol. Eur. Alc. 1128 ψυχαγωγοὶ τινὲς γόητες ἐν Θετταλίᾳ οὕτω καλούμενοι . . . οὓς καὶ Λάκωνες μετεπέμψαντο ἡνίκα τὸ Παυσανίου εἴδωλον ἐξετάραξε τοὺς προσιόντας τῷ ναῷ τῆς Χαλκιοίκου, ὡς ἱστορεῖ Πλούταρχος ἐν ταῖς Ὁμηρικαῖς μελέταις.

plurima citat et Stobaeus quae non adhibenda duximus. consulas Diels Doxograph. f. 88 sqq., Baedorf, *de Plutarchi quae fertur vita Homeri* 1891, J. Mehler *de Plutarchi quae vulgo fertur Vita Homeri* 1896, H. Schrader, *de Plutarchi Chaeronensis* ΟΜΗΡΙΚΑΙΣ ΜΕΛΕΤΑΙΣ *et de eiusdem quae fertur vita Homeri* 1899. Westermannum secuti biographica tantum dedimus.

1. Περιττὸν μὲν ἂν ἴσως δόξειέ τισι πολυπραγμονεῖν περὶ Ὁμήρου, ποίων τε ἦν γονέων καὶ πόθεν· ἐπεὶ μηδ' αὐτὸς

*Codices*: G Ma$^3$ P$^2$ P$^3$ P$^6$ P$^8$ P$^{13}$ P$^{14}$ U$^4$: Vind. suppl. 88 advocavit Mehler (ed. 1896). TITVLVS: *πλουτάρχου εἰς τὸν βίον τοῦ ὁμήρου* P$^6$ U$^4$: *πλουτάρχου βίος ὁμήρου* P$^{13}$: *πλουτάρχου περὶ ὁμήρου* Ma$^3$: *περὶ ὁμήρου* P$^1$ P$^3$ P$^{14}$    ΝΘ add. P$^1$ P$^2$    caret titulo P$^8$    1 *περισσὸν* G P$^1$ P$^2$ P$^5$ P$^8$ P$^{13}$    *μὲν ἴσως ἂν* P$^{13}$: *μὲν ἴσως* om. *ἂν* P$^2$ P$^3$ P$^6$ P$^{14}$: *μὲν ἂν* om. Ma$^3$

ἠξίωσεν εἰπεῖν περὶ αὐτοῦ, ἀλλ' οὕτως ἐγκρατῶς ἔσχεν ὡς μηδὲ τὴν ἀρχὴν τοῦ ὀνόματος ἐπιμνησθῆναι. ἐπεὶ δὲ ὡς πρὸς εἰσαγωγὴν τῶν ἀρχομένων παιδεύεσθαι χρήσιμος ἡ πολυπειρία, πειρασόμεθα εἰπεῖν ὅσα ἱστόρηται τοῖς παλαιοῖς περὶ αὐτοῦ.

2. Ἔφορος μὲν οὖν ὁ Κυμαῖος ἐν συντάγματι τῷ ἐπιγραφομένῳ Ἐπιχωρίῳ ⟨fr. 164⟩ Κυμαῖον αὐτὸν ἀποδεικνύναι πειρώμενος φησὶν ὅτι Ἀπελλῆς καὶ Μαίων καὶ Δῖος ἀδελφοὶ Κυμαῖοι τὸ γένος· ὧν Δῖος μὲν διὰ χρέα μετῴκησεν εἰς Ἄσκρην κώμην τῆς Βοιωτίας κἀκεῖ γήμας Πυκιμήδην ἐγέννησεν Ἡσίοδον· Ἀπελλῆς δὲ τελευτήσας ἐν τῇ πατρίδι Κύμῃ κατέλιπε θυγατέρα Κριθηίδα τοὔνομα, προστησάμενος αὐτῇ τὸν ἀδελφὸν Μαίονα· ὃς διακορεύσας τὴν προειρημένην καὶ τὴν ἀπὸ τῶν πολιτῶν ἐπὶ τῷ γεγονότι δείσας κατάγνωσιν, ἔδωκεν αὐτὴν πρὸς γάμον Φημίῳ τῷ Σμυρναίῳ, διδασκάλῳ γραμμάτων. φοιτῶσα δὲ αὐτὴ ἐπὶ τοὺς πλύνους οἳ ἦσαν παρὰ τῷ Μέλητι ἀπεκύησε τὸν Ὅμηρον ἐπὶ τῷ ποταμῷ, καὶ διὰ τοῦτο Μελησιγένης ἐκλήθη· μετωνομάσθη δ' Ὅμηρος ἐπειδὴ τὰς ὄψεις ἐπηρώθη· οὕτω δὲ ἐκάλουν οἵ τε Κυμαῖοι καὶ οἱ Ἴωνες τοὺς τὰς ὄψεις πεπηρωμένους παρὰ τὸ δεῖσθαι τῶν ὁμηρευόντων, ὅ ἐστι τῶν ἡγουμένων. καὶ ταῦτα μὲν Ἔφορος.

3. Ἀριστοτέλης δὲ ἐν τῷ τρίτῳ περὶ ποιητικῆς ⟨fr. 66 Ros.⟩ ἐν Ἴῳ φησὶ τῇ νήσῳ, καθ' ὃν καιρὸν Νηλεὺς ὁ Κόδρου τῆς Ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρην τινα τῶν ἐπιχωρίων γενομένην ὑπό τινος δαίμονος τῶν συγχορευτῶν ταῖς Μούσαις ἐγκύμονα, αἰδεσθεῖσαν τὸ συμβὰν διὰ τὸν ὄγκον τῆς γαστρός,

3 εἰπεῖν τὰ G P$^{5}$ P$^{13}$ : τὰ, om. εἰπεῖν, Ma$^{3}$ 5 χρήσιμα ἐν πολυπειρία P$^{8}$ 6 πειρασώμεθα P$^{1}$ P$^{5}$ P$^{13}$ U$^{4}$ 7 πάλαι G P$^{8}$ U$^{4}$ 8 οὖν P$^{14}$ 9 ἐπιχορίω P$^{14}$ 10 ἀτελλὴς P$^{5}$ P$^{13}$ U$^{4}$, fort. P$^{8}$ 12 ἄκρην (ss. σ) Ma$^{3}$ : ἄκρην G πόλιν P$^{8}$ μυκιμήδην G P$^{5}$ P$^{13}$ U$^{4}$ : κιμήδον P$^{8}$ 13 ἀτελλὴς P$^{5}$ P$^{13}$ U$^{4}$ 15 αὐτῆς P$^{1}$ P$^{2}$ P$^{14}$ μαίωνα P$^{5}$ εἰρημένην P$^{8}$ 17 φημία P$^{14}$ τῷ om. G Ma$^{3}$ P$^{1}$ P$^{2}$ P$^{3}$ P$^{4}$ P$^{5}$ P$^{8}$ 18 χρημάτων pro γραμμάτων P$^{8}$ 19 τὸν ποταμὸν P$^{5}$ P$^{13}$ 20 μελησογενὴς Ma$^{3}$ 21 δὴ corr. ex δ' P$^{14}$ 25 δὲ om. P$^{8}$ 26 ἴ[illegible] (ss. ω), ι in ras., P$^{8}$ 28 ταῖς om. P$^{5}$ P$^{13}$

ἐλθεῖν εἴς τι χωρίον τὸ καλούμενον Αἴγιναν· εἰς ὃ καταδραμόντας λῃστὰς ἀνδραποδίσαι τὴν προειρημένην καὶ ἀγαγόντας εἰς Σμύρναν οὖσαν ὑπὸ Λυδοῖς τότε, τῷ βασιλεῖ τῶν Λυδῶν ὄντι φίλῳ τοὔνομα Μαίονι χαρίσασθαι· τὸν δὲ ἀγαπήσαντα τὴν κόρην διὰ τὸ κάλλος γῆμαι· ἣν διατρίβουσαν παρὰ τῷ Μέλητι καὶ συσχεθεῖσαν ὑπὸ τῆς ὠδῖνος ἔτυχεν ἀποκυῆσαι τὸν Ὅμηρον ἐπὶ τῷ ποταμῷ. ὃν ἀναλαβὼν ὁ Μαίων ὡς ἴδιον ἔτρεφε, τῆς Κριθηίδος μετὰ τὴν κύησιν εὐθέως τελευτησάσης. χρόνου δὲ οὐ πολλοῦ διελθόντος καὶ αὐτὸς ἐτελεύτησε. τῶν δὲ Λυδῶν καταπονουμένων ὑπὸ τῶν Αἰολέων καὶ κρινάντων καταλιπεῖν τὴν Σμύρναν, κηρυξάντων τῶν ἡγεμόνων τὸν βουλόμενον ἀκολουθεῖν ἐξιέναι τῆς πόλεως, ἔτι νήπιος ὢν Ὅμηρος ἔφη καὶ αὐτὸς βούλεσθαι ὁμηρεῖν· ὅθεν ἀντὶ Μελησιγένους Ὅμηρος προσηγορεύθη.

4. γενόμενος δὲ ἐν ἡλικίᾳ καὶ δόξαν ἐπὶ ποιητικῇ κεκτημένος ἤδη ἐπηρώτα τὸν θεὸν τίνων τε εἴη γονέων καὶ πόθεν· ὁ δ' ἀνεῖλεν οὕτως·

ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

φέρεται δὲ καὶ ἕτερος χρησμὸς τοιοῦτος·

ὄλβιε καὶ δύσδαιμον· ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι·
πατρίδα δίζηαι, μητρὸς δέ τοι οὐ πατρός ἐστι
μητρόπολις ἐν νήσῳ ὑπὸ Κρήτης εὐρείης,

32 μύρναν G $U^4$ 33 μαίωνι $P^{14}$ $P^8$ (ω corr. in ο) 35 περὶ $Ma^3$, marg. παρὰ καὶ om. $P^8$ 36 ἔτυχεν om. $P^8$ 37 κρηθηίδος (ss. ϊ) $P^2$ μετὰ τὴν κύησιν om. $P^5$ 38 οὐ om. G $Ma^3$ $P^1$ $P^2$ (add. m. al.) $U^4$ 41 καὶ κηρυξάντων $P^5$ $P^{13}$ : κηρυξάντων δὲ $Ma^3$ $P^1$ $P^2$ $P^{14}$ : τὲ $P^8$ 43 βούλομαι $P^8$ 44 ἐκλήθη $P^8$ 46 εἴη] ἦν $P^2$ $P^{14}$ 48 ἧσε] ἧδε G $P^{13}$ $U^4$ 48, 49 = Anth. Pal. xiv. 65, Paus. x. 24. 2 (v. ad 48) v. Proc. 100. 9, Cert. 59, orac. ap. Steph. Byz. in Ἴος 49 ἀνδρῶν] παίδων Paus. Cert. Stephanus 50 om. $P^2$ $P^5$ 51–60 = Anth. Pal. xiv. 66. vv. 48, 55–57 hab. Euseb. praef. evan. v. 33 Giff. 48, 49 sequentibus 45, 46 vidit Paus. x. 24. 2 Delphis in basi statuae Homeri 52 δίζεαι G $P^5$ $P^{13}$ μητρὶς . . . πατρὶς $P^8$ Eus. τοι om. $P^8$ : τι (ss. ο) $P^{13}$

Μίνωος γαίης οὔτε σχεδὸν οὔτ' ἀποτηλοῦ.
ἐν τῇ σῇ μοῖρ' ἐστὶ τελευτῆσαι βιότοιο
εὖτ' ἂν ἀπὸ γλώσσης παίδων μὴ γνῷς ἐπακούσας
δυσξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὕμνον.
δοιὰς γὰρ ζωῆς μοίρας λάχες, ἣν μὲν ἀμαυρὰν
ἠελίων δισσῶν, ἣν δ' ἀθανάτοις ἰσόμοιρον
ζῶντί τε καὶ φθιμένῳ· φθίμενος δ' ἔτι πολλὸν ἀγήρως.

μετ' οὐ πολὺν δὲ χρόνον πλέων ἐς Θήβας ἐπὶ τὰ Κρόνια· ἀγὼν δ' οὗτος ἄγεται παρ' αὐτοῖς μουσικός· ἦλθεν εἰς Ἴον· ἔνθα ἐπὶ πέτρας καθεζόμενος ἐθεάσατο ἁλιεῖς προσπλέοντας, ὧν ἐπύθετο εἴ τι ἔχοιεν. οἱ δὲ ἐπὶ τῷ θηρᾶσαι μὲν μηδὲν φθειρίζεσθαι δὲ διὰ τὴν ἀπορίαν τῆς θήρας οὕτως ἀπεκρίναντο·

ὅσσ' ἕλομεν λιπόμεσθ', ὅσσ' οὐχ ἕλομεν φερόμεσθα,

αἰνισσόμενοι ὡς ἄρα οὓς μὲν ἔλαβον τῶν φθειρῶν ἀποκτείναντες κατέλιπον· οὓς δ' οὐκ ἔλαβον ἐν τῇ ἐσθῆτι φέροιεν. ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν Ὅμηρος διὰ τὴν ἀθυμίαν ἐτελεύτησε. θάψαντες δ' αὐτὸν οἱ Ἰῆται μεγαλοπρεπῶς τοιόνδε ἐπέγραψαν αὐτοῦ τῷ τάφῳ·

ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

εἰσὶ μέντοι οἳ καὶ Κολοφώνιον αὐτὸν ἀποδεικνύναι πειρῶνται,

54 δ' ἀπὸ γῆς Eus. ἀπὸ τηλοῦ Ma$^3$ P$^1$ P$^2$ P$^{13}$ Eus. 55 σῇ] σοι Ma$^3$ P$^1$ P$^2$ Eus. ἐν τῇ μοῖρ' ἐστίν σε Anth.: ἐν τοῖσι μόρσιμόν Eusebii codd. A H 56 γλώττης P$^5$ P$^8$ ἐσακούσας Anth. 57 δυσξύνελον U$^4$: ἀξύνετον Eus. σκολιοῖσι] πολλοῖσι Eus. 58 δισσῶν Anth. uv. σοὶ ζωὴ δοιὰς μοίρας λάχεν ἣ μὲν ἀμαυρῶν Eus. 59 ἠελίδων P$^{13}$ U$^4$ δ' ὅσσων P$^2$ P$^3$ P$^{14}$: ὅσσων Ma$^3$ P$^5$ P$^{12}$ U$^4$: ἠελίωδιοσων P$^8$ ἣν] τὴν Anthol. ἀθάνατος Eusebii A H ἰσόμοιρος P$^{13}$ U$^4$ Eus.: ἰσόμοιρος (ss. ν) P$^5$ (ἰσόμοιρον Euseb. A H): ἰσόμηρον P$^8$ 60 καὶ ζῶν καὶ φθίμενος P$^5$ P$^{13}$ (φθίμενος om. P$^5$) τε] δὲ Anth. πολλὰ Anth. om. ἀγήρως 64 ἐπυνθάνετο P$^{13}$ τὸ G P$^{13}$ θηράσειν G P$^5$ P$^{13}$ U$^4$ οὐδὲν P$^5$ 65 φθειρίσασθαι P$^8$ ἀπειρίαν (ss. ο) P$^5$: ἀπειρίαν G 67 λιπόμεθα G U$^4$ 70 συλλαβεῖν G P$^5$ P$^{13}$ U$^4$ 72 αὐτῶ τῶ τάφω G P$^5$ P$^{13}$ U$^4$ 73, 74 = Anth. Pal. vii. 3, vit. Herod. 515 75 εἰσὶ μὲν U$^4$

*μεγίστῳ τεκμηρίῳ χρώμενοι πρὸς ἀπόδειξιν τῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγεγραμμένῳ ἐλεγείῳ· ἔχει δ' οὕτως·*

*υἱὲ Μέλητος Ὅμηρε σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ*
*καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀίδιον·*
*καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας*
*δισσὰς ἡμιθέων γραψάμενος σελίδας.*
*ὑμνεῖ δ' ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον*
*ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανιδῶν πόλεμον.*

*ἄξιον δὲ μηδὲ τὸ ὑπὸ Ἀντιπάτρου τοῦ ἐπιγραμματοποιοῦ γραφὲν ἐπίγραμμα παραλιπεῖν, ἔχον οὐκ ἀσέμνως· ἔχει δ' οὕτως·*

*οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν Ὅμηρε,*
*οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον·*
*οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν εὔκλαρον Σαλαμῖνα,*
*οἱ δέ νυ τὰν Λαπιθᾶν ματέρα Θεσσαλίαν·*
*ἄλλοι δ' ἄλλο μέλαθρον ἀνίαχον· εἰ δέ με Φοίβου*
*χρὴ λέξαι πινυτὰν ἀμφαδὰ μαντοσύναν,*
*πάτρα τοι τελέθει μέγας οὐρανός, ἐκ δὲ γυναικὸς*
*οὐ θνατᾶς ματρὸς δ' ἔπλεο Καλλιόπας.*

5. *γενέσθαι δ' αὐτὸν τοῖς χρόνοις οἱ μέν φασι κατὰ τὸν Τρωικὸν πόλεμον, οὗ καὶ αὐτόπτην γενέσθαι· οἱ δὲ μετὰ ἑκατὸν ἔτη τοῦ πολέμου· ἄλλοι δὲ μετὰ πεντήκοντα καὶ ἑκατόν. ἔγραψε δὲ ποιήματα δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν·*

77 *ἀνδρίαντι* $P^8$ 78–83 = Anth. Plan. iv. 292 81 *δισσὰς ἐξ* $P^1$ $P^{14}$ : *δισσὰς ἐκ στηθέων* Anth. 82 *πολύπλακτον* $P^5$ $P^{13}$ $U^4$ 83 *τῶν λιακῶν* $P^8$, marg. *ἰλιακῶν* *δαρδανίων* Anth. 84 *τοῦ ἐπιγραμματοποιοῦ* om. $P^5$ $P^{13}$ 85 *ἀσμ/* (ss. *os*) $U^4$ : *ἀσμένος* G : *ἀσμένως* cet. corr. Xylander 87–94 = Anth. Plan. iv. 296 87 *τιθήνην τείναν* G $P^5$ $P^{13}$ $U^4$ 88 *οἱ δ' ἐνέπ. . . .* 89 *ἴον* om. $P^8$ add. marg. 89 *οἱ δ' ἴον* om. $P^{13}$ $U^4$ add. marg. 90 *τᾶν* $P^5$ $P^{13}$: *τῶν* Anth. *λαπιθέων* Anth. *θεσσαλίην* Anth. $P^8$ 91 *ἄλλοι δ' ἄλλην γαῖαν* Anth. 92 *πινυτὰς . . . μαντοσύνας* Anth. *ἀμφαδα* $P^5$ $P^{13}$ $U^4$ : *ἀμφάδα* $Ma^3$ : *ἄμφαδα* $P^5$ corr. : *ἀμφὶ σὲ* $P^8$ 93 *σοι* Anth. : *τοι* om. $P^8$ *τελέθοι* ex *τελέθει* $P^5$ *τεκούσης* Anth. 95 *αυτὸν* ‸ *τοῖς χρόνοις οἱ μὲν κατὰ* $P^5$ marg. ‸ *φασιν* : *αὐτόν φασι* $P^{13}$ : *αὐτὸν οἱ μέν φασι τοῖς χρόνοις* $P^8$

ὡς δέ τινες, οὐκ ἀληθῶς λέγοντες, γυμνασίας καὶ παιδιᾶς ἕνεκα καὶ Βατραχομυομαχίαν προσθεὶς καὶ Μαργίτην.

cc. 6 8 omisimus.

## II [1]

1. Ὅμηρον τὸν ποιητὴν χρόνῳ μὲν τῶν πλείστων δυνάμει δὲ πάντων πρῶτον γενόμενον εἰκότως ἀναγινώσκομεν πρῶτον, ὠφελούμενοι τὰ μέγιστα εἴς τε τὴν φωνὴν καὶ τὴν διάνοιαν καὶ τὴν τῶν πραγμάτων πολυπειρίαν. λέγωμεν δὲ περὶ τῆς τούτου ποιήσεως, πρότερον μνησθέντες διὰ βραχέων τοῦ γένους αὐτοῦ.

2. Ὅμηρον τοίνυν Πίνδαρος ⟨fr. 264⟩ μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι, Σιμωνίδης ⟨fr. 85⟩ δὲ Χῖον, Ἀντίμαχος δὲ καὶ Νίκανδρος ⟨fr. 14 Schn.⟩ Κολοφώνιον, Ἀριστοτέλης ⟨cf. i. 3⟩ δ' ὁ φιλόσοφος Ἰήτην, Ἔφορος ⟨cf. i. 7⟩ δ' ὁ ἱστορικὸς Κυμαῖον. οὐκ ὤκνησαν δέ τινες Σαλαμίνιον αὐτὸν εἰπεῖν ἀπὸ Κύπρου, τινὲς δ' Ἀργεῖον, Ἀρίσταρχος δὲ καὶ Διονύσιος ὁ Θρᾷξ Ἀθηναῖον. υἱὸς δ' ὑπ' ἐνίων λέγεται Μαίονος καὶ Κριθηίδος, ὑπὸ δέ τινων Μέλητος τοῦ ποταμοῦ.

3. Ὥσπερ δὲ τὰ τοῦ γένους αὐτῷ διαπορεῖται, οὕτω καὶ περὶ τῶν χρόνων καθ' οὓς ἐγένετο. καὶ οἱ μὲν περὶ Ἀρίσταρχόν φασιν αὐτὸν γενέσθαι κατὰ τὴν τῶν Ἰώνων ἀποικίαν, ἥτις ὑστερεῖ τῆς τῶν Ἡρακλειδῶν καθόδου ἔτεσιν ἑξήκοντα, τὰ δὲ περὶ τοὺς Ἡρακλείδας λείπεται τῶν Τρωικῶν ἔτεσιν ὀγδοήκοντα. οἱ δὲ περὶ Κράτητα καὶ πρὸ

[1] haec prioribus continuant Ma[3] P[8] P[14] : litteram initialem ampliorem hab. P[2] : ἄλλως P[1] marg. ἔτι περὶ τοῦ γένους καὶ τῆς ποιήσεως ὁμήρου P[5] P[13] U[4]

99 παιδείασ P[2]
1 ὅμηρον δὲ Ma[3] marg. 2 πρῶτον πάντων P[8] 4 λέγομεν P[8] 5 ποιήσεως τούτου P[8] 6 περὶ τοῦ γένους P[8] 8 Ἀντίμαχος] . . . //// μανδρ̊ (ss. κείμενον) P[9] in loco attrito 11 τινες] sc. Callicles vit. vi. 17 12 καὶ σαλαμίνιον P[8] 16 τὰ περὶ P[5] P[8] U[4] 17 τὸν χρόνον P[5] 19 τῆς om. Ma[3] καθόλου Ma[3]

τῆς Ἡρακλειδῶν καθόδου λέγουσιν αὐτὸν γενέσθαι, ὡς οὐδὲ ὅλα ἔτη ὀγδοήκοντα ἀπέχειν τῶν Τρωικῶν. ἀλλὰ παρὰ τοῖς πλείστοις πεπίστευται μετὰ ἔτη ἑκατὸν τῶν Τρωικῶν γεγονέναι, οὐ πολὺ πρὸ τῆς θέσεως τῶν Ὀλυμπίων, ἀφ' ἧς ὁ κατὰ Ὀλυμπιάδα χρόνος ἀριθμεῖται. *cetera omisimus.*

## VITA IV

Ὅμηρος ὁ ποιητὴς υἱὸς ἦν κατὰ μέν τινας Μαίονος καὶ Ὑρνηθοῦς, κατὰ δ' ἐνίους Μέλητος τοῦ ποταμοῦ καὶ Κριθηίδος νύμφης. ἄλλοι δ' αὐτοῦ τὸ γένος εἰς Καλλιόπην τὴν Μοῦσαν ἀναφέρουσιν. φασὶ δ' αὐτὸν Μελησιγένη ἢ Μελησιάνακτα κεκλῆσθαι, τυφλωθέντα δ' αὐτὸν ὕστερον Ὅμηρον κληθῆναι· οἱ γὰρ Αἰολεῖς τοὺς τυφλοὺς ὁμήρους καλοῦσιν. πατρίδα δ' αὐτοῦ οἱ μὲν Σμύρναν, οἱ δὲ Χίον, οἱ δὲ Κολοφῶνα, οἱ δ' Ἀθήνας λέγουσιν. περιιὼν δὲ τὰς πόλεις ᾖδε τὰ ποιήματα. ὕστερον δὲ Πεισίστρατος αὐτὰ συνήγαγεν, ὡς τὸ ἐπίγραμμα τοῦτο δηλοῖ·

22 λέγουσιν . . . ὡς om. $P^8$ 23 ἀπέχειν ὀγδοήκοντα $P^8$ ἀπέχον $Ma^3$ 26 τὰς ὀλυμπιάδας $P^8$

IV. *Codices* $A^1$ $A^4$ $A^5$ $A^7$ $Bm^1$ $Bm^3$ $Ca^1$ $E^1$ $E^2$ H Le Li $M^1$ $Ma^2$ N $P^4$ $P^6$ $P^9$ $P^{12}$ Pa Pal.$^2$ Pe $U^2$ $U^3$ $U^6$ $V^3$ Vrat. Titvlvs: βίος ὁμήρου $P^4$: γένος ὁμήρου vulg.: ὁμήρου γένεσις $E^1$ $P^9$ (-ησις) om. $Bm^1$ $P^6$: περὶ τοῦ γένους τοῦ ποιητοῦ $Ma^2$ 1 μὲν ἦν $E^1$ Li $P^9$: μὲν sine ἦν $M^1$ τινας μὲν $P^9$ μαίωνος $A^4$ $Bm^1$ $E^2$ $U^2$ $U^3$ $U^6$: μάιμωνος $P^5$ $P^{12}$: μάρωνος $Ca^1$ $E^1$ H $M^1$ $Ma^2$ $P^6$ $P^9$: μάρωνα $Bm^3$: μάρενος $A^3$, cf. Proc. 99. 15: μαραθῶνος Li om. $V^3$ 2 ὑρνιθοῦς $U^3$: ὀρνιθοῦς $E^1$ $P^5$ $P^9$ $P^{12}$: ὀρνηθοῦς $P^6$ (γρ'. μυρνηθούς): ὄρνιθους $Ma^2$: ἡνηθοῦς $V^3$: εὐγνηθώ Cert. 25 μέλιτος $A^5$ $Ca^1$ $E^1$ Li $P^{12}$ $U^6$ $V^3$: εὖτε Μέλης ἐγάμει Asius P. L. G. ii. 23 τοῦ om. $Bm^3$ H $M^1$ Pal. Vrat. 4 ἀναφέρουσιν ἑρμοῦ λέγοντος καὶ καλλιόπης τοῦτον εἶναι. φασὶ δὲ αὐτὸν $E^1$ $P^9$, γρ'. οι μὲν ἱ . . . . (subters. καλλιο (ss. π) . . . .) marg. $P^6$ abscisso folio μελισσογενῆ $A^5$ $Bm^1$ $Ca^1$ $E^1$ $E^2$ H (-νν-) $Ma^2$ $P^4$ $P^6$ $P^9$ $P^{12}$ $U^2$ $U^6$: μελεσσογ- $M^1$: μελησσογ- $Bm^3$: μελητογενῆ Pal. ἢ καὶ $P^4$ $P^{12}$ $V^3$ μελισσιάνακτα $Bm^1$ $Ca^1$ $E^2$: μελισιάν- $E^1$ $P^9$: μελησσ- $Bm^3$: μελισσῖνα $Ma^2$: μελισσίαν $P^4$ $P^{12}$: μελίσσινα (ss. γρ'. ἢ μελισσιάνακτα) $P^4$ 5 πρότερον κεκλῆσθαι $Ma^2$ αὐτὸν κεκλῆσθαι $E^1$ $P^9$ κατακεκλῆσθαι $P^6$ ὕστερον δὲ τυφλ. $Ma^2$ 6 κληθῆναι] κεκλῆσθαι $P^4$ $P^{12}$: κεκλησθῆναι $Ma^2$ ἐκάλουν $A^4$ $Bm^1$ $U^2$ $U^6$ $V^3$ 8 Ἀθήνας εἶναι $Bm^3$ $Ca^1$ H $M^1$: ἀθηναῖον $P^4$ $P^{11}$ δὲ εἰς τὰς $A^1$ $Bm^1$ $Bm^3$ $Ca^1$ $H^1$ $M^1$ $P^1$ $P^3$ $P^4$ $U^1$ $U^2$ $U^3$ V λέγουσιν om. $A^7$ $Bm^1$ $Bm^3$ H $M^1$ $P^4$ $P^{12}$ $U^2$ $U^3$ φασὶν $E^1$ $P^9$ $U^6$ $V^3$ 9 τὰ ποιήματα αὐτοῦ $Ma^2$ δὲ αὐτὰ πεισίστρατος $A^7$ $Bm^3$ $Ca^1$ $E^2$ H $M^1$ $P^4$ $P^{12}$ $U^3$ 10 τὸ om. $Ca^1$ τούτου $Bm^1$ $Bm^3$ $Ca^1$ H $U^2$ $U^6$ $V^3$

τρίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξε
δῆμος Ἐρεχθῆος καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλαῖς Πεισίστρατον ὃς τὸν Ὅμηρον
ἤθροισα σποράδην τὸ πρὶν ἀειδόμενον·
ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης
εἴπερ Ἀθηναῖοι Σμύρναν ἐπῳκίσαμεν.

φασὶ δ' αὐτὸν ἐν Ἴῳ τῇ νήσῳ διὰ λύπην ἀποκαρτερήσαντα τελευτῆσαι διὰ τὸ μὴ λῦσαι τὸ ζήτημα τὸ ὑπὸ τῶν ἁλιέων αὐτῷ προτεθέν. ὁ μὲν γὰρ ἐπιστὰς ἤρετο·

ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιήτορες ἦ ῥ' ἔχομέν τι;

οἱ δ' ἀπεκρίναντο·

ὅσσ' ἕλομεν λιπόμεσθ', ὅσα δ' οὐχ ἕλομεν φερόμεσθα.

ἐπιγέγραπται δ' ἐν τῷ μνήματι αὐτοῦ

ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

11–16 = Anth. Pal. xi. 442, vit. v. 29 11 τρὶς μὲν Bm$^3$ M$^1$ ἐξεδίωκε M$^1$ : ἐξεκύλισε A$^1$ E$^1$ P$^9$ 12 ἐρεχθειδῶν codd. forsan omnes : ἐρεχθῆος Anth. Tzetzes Ex. in Il. 8. 13 ἐπήγαγε P$^9$ : τρὶς δ' ἐπανηγάγετο Tzetzes Ex. Il. 8. 13 : ἐπεσπάσατο A$^4$ A$^5$ A$^7$ Bm$^1$ Bm$^3$ Ca$^1$ H P$^4$ P$^6$ P$^{12}$ U$^3$ U$^6$ V$^3$ : -αντο U$^2$ 13 μέγαν] μὲν γὰρ Bm$^3$ H M$^1$ 14 ἤθροισαν A$^7$ : ἤθροισε A$^1$ A$^4$ A$^5$ Bm$^3$ E$^1$ H P$^9$ U$^6$ : ἤθροισ (ss. ε, α) P$^6$ τὸ (ss. ν) V$^3$ 15 ἁμέτερος U$^3$ ἐκεῖνος Bm$^3$ Ca$^1$ E$^1$ E$^2$ H M$^1$ Ma$^2$ P$^4$ P$^6$ P$^9$ P$^{12}$ U$^1$ U$^2$ V$^3$ Tzetzes l. c. πολίτης A$^4$ A$^7$ Bm$^3$ Ca$^1$ E$^2$ H U$^3$ ἦν (ss. γὲ) πολίτης V$^3$ ἦν ἐκεῖνος ὁ χρ. πολ. Bm$^1$ : γὰρ ἦν ἐκεῖνος· ὃς χρύσεος ἦν πολίτης U$^2$ U$^6$ 16 σμύρναν om. A$^1$ P$^9$ ἀπῳκίσαμεν P$^4$ P$^{12}$ Anth. Tzetzes l. c. 17 φασὶ . . . vit. v. 34 ἐπῳκίσαμεν om. A$^1$ E$^1$ Pal.$^2$ ita ut sermo continuetur 17 δ' om. A$^7$ ἴδω U$^3$ καρτερήσαντα Bm$^3$ 19 προστεθὲν Bm$^3$ H M$^1$ 20 cf. Certamen 326 ann. ἀλίτορες E$^2$: θηρήτορες Cert. vit. Proc. Tzetzes Ex. Il. ἦ ῥ'] ἆρ' vit. Proc. 22 cf. Vit. Herod. 494 et ann. οὓσ Bm$^3$ Ca$^1$ λιπόμεθα Bm$^1$ ὅσσ' (ὅσ') οὐχ A$^1$ A$^4$ A$^7$ Bm$^1$ E$^2$ P$^5$ P$^{12}$ U$^2$ U$^3$ U$^6$ V$^3$ : οὓσ δ' Bm$^3$ H M$^1$ φερόμεθα Bm$^1$ Li M$^1$ post φερόμεσθα haec Bm$^3$ Ca$^1$ H M$^1$ Vrat. τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτον. ἐπειδὴ γὰρ οὐδὲν ἦσαν ἔχοντες τότ' ἐξ ἁλείας ἐφθειρίζοντο, καὶ οὓς μὲν ἔλαβον τῶν φθειρῶν φονεύσαντες οὐκ εἶχον, οὓς δὲ οὐκ ἔλαβον ἐν τῇ ἐσθῆτι περιέφερον. οὐ νοήσας δὲ τὸ λεγόμενον σύννους γεγονὼς καὶ οὕτως ὀλισθήσας καὶ λίθῳ προσκρούσας τριταῖος ἐτελεύτησεν. οἱ δὲ Ἰῆται θάψαντες (θάψοντες H M$^1$) αὐτὸν μεγαλοπρεπῶς ἐν τῷ μνήματι αὐτοῦ ἐπέγραψαν τάδε. cf. vit. v. 43 23 δ'] γὰρ Bm$^1$ αὐτοῦ οὕτως E$^2$ 24, 25 = Anth. Pal. vii. 3 vit. Herod. 515, 516 ubi v. 24 ἱερὰν A$^4$ Bm$^1$ Ma$^2$ γαῖαν M$^1$ U$^6$ : γ////αῖ (ss. α) P$^4$ P$^{12}$ κάλυπτε A$^4$ 25 post ὅμηρον haec Bm$^3$ H M$^1$ : θανὼν ὅμηρος ἄγεται (ἄγετε M$^1$ : αὖτε Bm$^3$) πρὸς τὸν

# VITA V

῞Ομηρος ὁ ποιητὴς πατρὸς μὲν ἦν Μέλητος, μητρὸς δὲ Κριθηΐδος, το δὲ γένος κατὰ μὲν Πίνδαρον ⟨fr. 264⟩ Σμυρναῖος, κατὰ δὲ Σιμωνίδην ⟨fr. 85⟩ Χῖος, κατὰ δ' Ἀντίμαχον ⟨F. H. G. ii. 58 fr. 18⟩ καὶ Νίκανδρον ⟨fr. 14 Schn.⟩ Κολοφώνιος, κατὰ δὲ Βαγχυλίδην ⟨fr. 48 Bl.⟩ καὶ Ἀριστοτέλην τὸν φιλόσοφον ⟨fr. 66 R.⟩ Ἰήτης, κατὰ δ' Ἔφορον ⟨fr. 164⟩ καὶ τοὺς ἱστορικοὺς Κυμαῖος, κατὰ δ' Ἀρίσταρχον καὶ Διονύσιον τὸν Θρᾷκα Ἀθηναῖος. τινὲς δὲ καὶ Σαλαμίνιον αὐτὸν εἶναί φασιν, ἄλλοι δ' Ἀργεῖον, ἄλλοι δ' Αἰγύπτιον ἀπὸ Θηβῶν. τοῖς δὲ χρόνοις κατὰ μέν τινας πρὸ τῆς τῶν Ἡρακλειδῶν ἐγένετο καθόδου, ὥστε ἕνεκεν

*τάφον· προστιθέασιν* (*τιθέασιν* codd.) *αὐτῷ καὶ παίγνια τινά· μαργίτην* (*μαγνήτην* M$^1$) *καὶ βατραχομυομαχίαν* : Vrat. autem *ποιήματα δ' αὐτοῦ φασιν εἶναι ἰλιάδα καὶ ὀδύσσειαν, τινὲς δὲ προστιθέασιν αὐτῷ καὶ παίγνιά τινα, μαργίτην καὶ βατραχομυομαχίαν.* cf. vit. Procul. fin. haec autem U$^2$ : *τὸ δ' ἀληθὲς σμύρναν ὅμηρος ᾤκει· εὑρήσεις γὰρ ἐκεῖ πλησίον τῆς μ̅ρ̅ο̅πόλεως θρόνον μέγιστον ἐκ μαρμάρου, εὐφυῶς κατεσκευασμένον, ἔχοντα ε'ς τὸ ὄπισθεν μέρος γράμματα ἐγκεκολαμμένα λέγοντα οὕτως·*

*εἰ τραφερῆς πάσης ἀλιτέρμονα κύκλον ὁδεύσεις*
*οὔ ποτε μῶν τινα χῶρον ἀρείονα τοῦδε νοήσεις,*
*θέσκελον οἷον ἔτευξεν ἀγακλυτὸς ἰωάννης,*
*κυδαίνων βασίλειαν ὅλης χθονός· ἐκ ῥοθίων γὰρ*
*τερπωλὴν ἀκόρητον ἐν ἄστει θῆκεν ὁμήρου.*

*ὥστε οἱ λέγοντες ἀλλαχόθεν εἶναι τὸν ὅμηρον οὐ καλῶς φρονοῦσιν.* epigramma exstat Anth. Pal. ix. 672: agi videtur de Ioanne Duca cl. Mich. Ducae hist. 7 a Fr. Jacobs allato

V. *Codices* : A$^1$ A$^4$ A$^5$ A$^6$ A$^7$ Bm$^1$ Bm$^3$ E$^2$ H Le M$^1$ M$^2$ Ma$^2$ O$^1$ O$^3$ P$^6$ Pal.$^2$ U$^3$ U$^6$ V$^3$ Titvlvs : *ἕτερος* M$^1$ : *καὶ ἕτερος* H : *ἕτερον γένος ὁμήρου* U$^3$ *ἄλλως* vulg. : *ἄλλως περὶ αὐτοῦ* Ma$^2$ *καὶ ἄλλως* E$^2$ V$^3$ *βίος ὁμήρου τοῦ ποιητοῦ* A$^4$ O$^3$ om. Bm$^1$ O$^1$ U$^6$ 1 *υἱὸς* pro *πατρὸς* V$^3$ : *υἱὸς* in ras. A$^4$ *μέλιτος* A$^4$ O$^1$ U$^6$ V$^3$ 2 *δὲ* om. praeter Pal. codd. *καὶ τὸ γένος* O$^1$ O$^3$ *κατὰ πίνδαρον μὲν* O$^1$ O$^3$ 3 *ἦν σμυρναῖος* O$^1$ *σμυρναῖος . . . 4 νίκανδρον* om. A$^7$ E$^2$ U$^3$ *κατὰ σιμωνίδην δὲ* O$^1$ O$^3$ *σιμωνίδην*] *σμυρνίδην* A$^6$ M$^2$ 4 *καὶ κατὰ νίκανδρον* O$^1$ O$^3$ 5 *βαρχυλίδην* A$^7$ *κατὰ ἀριστοτέλην* O$^1$ O$^3$ 6 *τὸν μέγαν φιλόσοφον* O$^1$ O$^3$ 7 *εὔφορον* V$^3$ : *εὔφορβον* A$^7$ E$^2$ U$^3$ : *εὔφορκον* A$^4$ U$^6$ : *ἔφορβον* Bm$^3$ *καὶ κατὰ τοὺς* O$^1$ O$^3$ 8 *τὸν ἀρίσταρχον* U$^3$ *καὶ κατὰ διονύσιον* O$^1$ O$^3$ *τινὲς*] sc. Callicles, vit. vi. 17 *τινὲς δὲ φασὶν εἶναι αὐτὸν σαλαμίνιον* O$^1$ O$^3$ *δὲ* om. A$^4$ 9 *καὶ* om. A$^7$ *σαλαμήνιον* (ss. ϊ) P$^6$ *ἄλλοι δ' Ἀργ.*] sc. Philochorus vit. vi. 16 *ἄλλοι δὲ αὐτὸν* M$^1$ *ἀργεῖον*] *σάρδιον* A$^6$ M$^2$ 10 post *θηβῶν* add. *ἑκατομπυλῶν* O$^1$ O$^3$ 11 *πρὸς* M$^1$ *πρὸ τῆς καθόδου τῶν ἡρακλειδῶν* O$^1$ O$^3$ *ἕνεκεν ἐκ τούτου* Bm$^1$ Bm$^3$ M$^1$

τούτου γιγνώσκεσθαι ὑπ' αὐτοῦ τοὺς ἐπ' Ἴλιον στρατεύσαντας· τὰ γὰρ ἀπὸ τῶν Τρωικῶν ἐπὶ τὴν κάθοδον τῶν Ἡρακλειδῶν π' ἔτη. τοῦτο δ' ἀπίθανον ὑπάρχει· καὶ γὰρ αὐτὸς ὁ Ὅμηρος ὑστεροῦντα πολλοῖς χρόνοις ἑαυτὸν ἀποδείκνυσι λέγων

ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν οὐδέ τι ἴδμεν.

τινὲς δὲ λέγουσιν αὐτὸν τῆς Ἰωνικῆς ἀποικίας ἀπολείπεσθαι ἔτεσιν ρν'. οὐδὲν δ' αὐτοῦ θετέον ἔξω τῆς Ἰλιάδος καὶ τῆς Ὀδυσσείας, ἀλλὰ καὶ τοὺς ὕμνους καὶ τὰ λοιπὰ τῶν εἰς αὐτὸν ἀναφερομένων ποιημάτων ἡγητέον ἀλλότρια καὶ τῆς φύσεως καὶ τῆς δυνάμεως ἕνεκα. τινὲς δ' αὐτοῦ φασιν εἶναι καὶ τὰ φερόμενα δύο γράμματα, τήν τε Βατραχομυομαχίαν καὶ τὸν Μαργίτην. τὰ δὲ ποιήματα αὐτοῦ τὰ ἀληθῆ σποράδην πρότερον ᾀδόμενα Πεισίστρατος Ἀθηναῖος συνέταξεν, ὡς δηλοῖ τὸ φερόμενον ἐπίγραμμα Ἀθήνησιν ἐπιγε-

12 γιγνώσκεσθαι] γίνεσθαι $A^7$ $E^2$ : γενέσθαι $U^3$ αὐτὸν $Bm^3$ τοὺς στρατεύσαντας ἐπὶ τὸ ἴλιον $O^1$ $O^3$ ἰλίου $A^6$ $M^2$ 13 ἀπὸ] ἐπὶ $A^4$ $Bm^1$ $Bm^3$ H $M^1$ $U^6$ $V^3$ 14 ἔτη ὀγδοήκοντα $A^4$ $Bm^1$ $Bm^3$ H $M^1$ $U^6$ $V^3$ ὀγδοήκοντα γὰρ τὰ (om. $O^2$) ἔτη (ἦσαν add. $O^2$) μέχρι τῆς καθόδου add. $O^1$ $O^3$ ἀλλὰ τοῦτο $O^1$ $O^3$ δ'] γὰρ $A^4$ $U^6$ $V^3$ καὶ γὰρ] ὅτι $O^1$ $O^3$ καὶ γὰρ . . . 17 ἴδμεν om. $Bm^1$ 15 ἑαυτὸν πολλοῖς χρόνοις $U^3$ ἀποδείκνυσιν ἑαυτὸν ὕστερον τῶν τρωικῶν. φησὶ γὰρ $O^1$ $O^3$ ὑποδείκνυσι $M^1$ 17 = B 486 18 ἄλλοι δὲ $O^1$ $O^3$ αὐτὸν om. $A^4$ $Bm^1$ H $M^1$ $U^6$ $V^3$ τῆς om. $A^4$ $Bm^1$ $Bm^3$ H $U^6$ ἀπολείπεσθαι τῆς ἰωνικῆς ἀποικίας $O^1$ $O^3$ ἀπολίπεσθαι $E^2$ 19 post ρν' ita $O^1$ $O^3$ ἴδια δὲ ποιήματα αὐτοῦ τὰ τῆς ἰλιάδος καὶ τὰ τῆς ὀδυσσείας (εἰσίν add. rubr. $O^1$) : φασὶ δέ τινες εἶναι αὐτοῦ τήν (ἥ $O^3$) τε βατραχομυομαχίαν (-ία $O^3$) καὶ τὸν (ὁ $O^3$) μαργίτην (-ης $O^3$). ταῦτα δὲ αὐτοῦ τἀληθῆ ποιήματα καὶ om. $A^6$ $A^7$ $E^2$ $M^2$ $U^3$ 21 ἀλλότριον $U^6$ φύσεως αὐτῆς $U^3$ 22 φασὶν αὐτοῦ $A^6$ 23 συγγράμματα $A^4$ $A^7$ $Bm^3$ $E^2$ H $M^1$ $U^3$ $U^6$ μυοβατραχομαχίαν $A^5$ $A^7$ $Bm^3$ $E^2$ H Li $M^1$ $Ma^2$ $U^3$ : μυοβατραχίαν $A^4$ $V^3$ 24 μαργήτην $Ma^2$ $P^6$ : μαργαρίτην $M^2$ ἀληθῆ αὐτοῦ ποιήματα $Bm^2$ $E^2$ H $M^1$ $U^3$ 25 ὁ ἀθηναῖος $O^1$ $O^3$ συνέλεξεν $A^4$ $Bm^1$ $U^6$ : συνέλαυεν $V^3$ : προσέταξεν $A^7$ post συνέλεξεν haec $Bm^1$ καὶ τὰ ἑξῆς· τὸ δὲ ἀληθὲς περὶ τοῦ ἑαυτοῦ θανάτου οὕτως ἔχει· ἀπερχόμενος ἔν τινι οἰκίᾳ καὶ λυπούμενος ἀμετρήτως διὰ τὸ μὴ δυνηθῆναι τὸ ἐρώτημα τῶν ἁλιέων νοῆσαι· καὶ πηλοῦ ὄντος ὤλισθε καὶ κεκρουκὼς ἐς πέτραν τὴν δεξιὰν ἐκλάσθη πλευράν· καὶ τριταῖος ἐτελεύτησε [finitur vita] 26 ἐπιφερόμενον $Bm^3$ $E^2$ $M^1$ $U^3$ : περιφερόμενον $A^4$ $U^6$ : ἤγουν τὸ ἐπιγεγραμμένον $O^1$ $O^3$ ἀθήνησιν ἐπίγραμμα $E^2$

γραμμένον ἐν εἰκόνι αὐτοῦ τοῦ Πεισιστράτου. ἔχει δ' ὧδε·

τρίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξε
δῆμος Ἐρεχθῆος καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλαῖς Πεισίστρατον ὃς τὸν Ὅμηρον
ἤθροισα σποράδην τὸ πρὶν ἀειδόμενον.
ἡμέτερος καὶ κεῖνος ὁ χρύσεος ἦν πολιήτης
εἴπερ Ἀθηναῖοι Σμύρναν ἐπῳκίσαμεν.

πλανηθέντα δὲ τὸν Ὅμηρον ἐν Ἰθάκῃ πολύν φασι διατρῖψαι χρόνον καὶ πολλὰς χώρας ἀμείψαντα ἐν Ἴῳ τῇ νήσῳ τελευτῆσαι ἐκ τοιᾶσδε αἰτίας. καθημένου γάρ ποτε τοῦ Ὁμήρου ἐν αἰγιαλῷ τυφλοῦ αὐτοῦ ὄντος αἰσθέσθαι ἁλιεῖς παρερχομένους. πρὸς οὓς εἶπεν

ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιήτορες ἦ ῥ' ἔχομέν τι;

τοὺς δ' ἀποκριθέντας εἰπεῖν

ὅσσ' ἕλομεν λιπόμεσθ', ὅσα δ' οὐχ ἕλομεν φερόμεσθα.

τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτον. ἐπειδὴ γὰρ οὐδὲν ἦσαν

27 ἐν τῇ εἰκόνι O$^1$ O$^3$ τοῦ πεισιστράτου ἐκείνου O$^1$ O$^3$ 28 οὕτως U$^2$ U$^6$ 29–34 = Anth. xi. 442, vit. iv. 11 29 ἐξεκύλισε A$^4$ A$^5$ A$^7$ Bm$^3$ E$^2$ H M$^1$ Ma$^2$ P$^6$ Pal.$^2$ U$^3$ U$^6$ : ἐξεκάλεσε Li 30 ἐρεχθειδῶν A$^6$ M$^2$ marg. P$^6$ ἐπήγαγε Ma$^2$ P$^6$ Pal. : ἐπεσπάσατο A$^6$ 31 ὃς . . . 34 ἀειδόμενον om. V$^3$ add. marg. 32 ἤθροισε Li M$^1$ : ἤθροισε (ss. α) P$^6$ : ἤθροισαι A$^7$ τὸν Bm$^3$ M$^1$ τὸ πρὶν om. U$^6$ 33 ἐκεῖνος A$^1$ A$^5$ A$^7$ Bm$^3$ E$^2$ Li M$^1$ M$^2$ O$^1$ O$^3$ U$^6$ χρύσϊος U$^3$ ὁ χρύσεος ἐκεῖνος Ma$^2$ P$^6$ πολίτης A$^4$ A$^7$ Bm$^3$ E$^2$ H U$^6$ V$^3$ : πολϊίτης A$^6$ : πολητίτης U$^3$ 34 σμύρνα M$^1$ ἐπωκήσαμεν Bm$^3$ E$^2$ (corr. ex ϊ) M$^2$ Ma$^2$ O$^1$ O$^3$ P$^6$ Pal.$^2$ 35 δὲ om. A$^6$ P$^9$ διατρίψας Bm$^3$ H M$^1$ φασὶ διατρίψαι πολὺν χρόνον ἐν τῇ O$^1$ O$^3$ 36 διαμείψαντα M$^1$: διελθόντα A$^6$ E$^1$ : περιελθόντα P$^9$ : πλανηθέντα Li τόπους καὶ χώρας O$^1$ O$^3$ 37 λέγουσι τελευτῆσαι τοῦτον ὕστερον ἐν ἴῳ O$^1$ O$^3$ τοιᾶσδε Li M$^1$ P$^2$ : τοίας τῆς cet. αἰτίας ἧς ἀνωτέρω εἰρήκαμεν· περὶ τῆς ἐρωταποκρίσεως αὐτοῦ καὶ τῶν ἁλιέων U$^3$ [qui hic finitur, om. ceteris] τοῦ om. U$^6$ ποτε τοῦ ὁμήρου et τυφλοῦ αὐτοῦ ὄντος om. A$^6$ καθήμενον et τυφλὸν αὐτὸν ὄντα A$^6$ M$^2$ om. τοῦ ὁμήρου : καθημένου (ss. ον) . . . τυφλοῦ (ss. ον) ὄντος (ss. α) Ma$^2$ 38 ὄντος αὐτοῦ V$^3$ : ὁμήρου τυφλοῦ ὄντος λέγουσιν αἰσθέσθαι O$^1$ O$^3$ αἰσθέσθαι φασὶν Ma$^2$ ἁλιέων παρερχομένων A$^7$ Bm$^3$ E$^2$ H M$^1$ 39 καὶ εἶπεν A$^6$ E$^1$ P$^9$ 40 v. Certam. 326 ann. 42 cf. vit. Herod. 499 ann. λιπόμεσθα ὅσ' M$^1$ ὅσσ' (ὅσ') οὐχ A$^4$ A$^5$ A$^7$ Bm$^3$ E$^1$ E$^2$ H Ma$^2$ P$^9$ U$^6$ V$^3$ 43 ἐπεὶ γὰρ A$^4$ U$^6$ : γὰρ om. A$^6$ E$^1$ P$^9$ οἱ ἁλιεῖς οὐδὲν ἔχοντες O$^1$ O$^3$

ἔχοντες τότ' ἐξ ἁλείας ἐφθειρίζοντο, καὶ οὓς μὲν ἔλαβον ἐκ τῶν φθειρῶν φονεῦσαι καὶ μὴ ἔχειν, οὓς δ' οὐκ ἔλαβον ἐν τῇ ἐσθῆτι περιφέρειν. οὐ νοήσας δὲ τὸ λεγόμενον ἀπὸ θλίψεως ἐτελεύτησεν ἐν Ἴῳ τῇ νήσῳ. ἔθαψαν δ' αὐτὸν μεγαλοπρεπῶς οἱ Ἰῆται, χαράξαντες ἐπὶ τῷ τάφῳ τὸ ἐπίγραμμα τοῦτο παρ' αὐτοῦ ζῶντος ἔτι γεγραμμένον εἰς αὐτόν·

> ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει
> ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

## VITA VI

### Βίος Ὁμήρου

Τὸ μὲν ἄντικρυς εἰπεῖν διισχυρισάμενον τήνδε τινὰ σαφῶς εἶναι τὴν Ὁμήρου γένεσιν ἢ πόλιν χαλεπόν, μᾶλλον δὲ ἀδύνατον εἶναι νομίζω· ἀναγκαῖον δὲ καταριθμῆσαι τὰς ἀντιποιουμένας τῆς γενέσεως αὐτοῦ πόλεις, τό τε γένος ἐξειπεῖν τὸ ἀμφισβητήσιμον τοῦ ποιητοῦ. Ἀναξιμένης ⟨Scrr. rer. Alex. magn. p. 39 fr. 20⟩ μὲν οὖν καὶ Δαμάστης ⟨F. H. G. ii. 66 fr. 10⟩ καὶ Πίνδαρος ὁ μελοιποιὸς ⟨fr. 264⟩ Χῖον αὐτὸν ἀποφαίνονται καὶ Θεόκριτος ἐν τοῖς ἐπιγράμμασιν. ὁ δὲ Δαμάστης καὶ δέκατον αὐτὸν ἀπὸ Μουσαίου

44 τωτότε A$^4$ U$^6$ : τ̈ωτότε V$^3$ ἐξ] ἐκ τῆς O$^3$ ἃσ μὲν . . . ἃσ δ' A$^7$ Bm$^2$ E$^1$ H O$^1$ O$^3$ 45 ἐκ τῶν] τῶν E$^1$ P$^9$ φθειρῶν λαμβάνοντες O$^1$ O$^3$ ἐφόνευον καὶ φονεύοντες οὐκ εἶχον ἔτι O$^1$ O$^3$ 46 ἐν ταῖς ἐσθῆσι αὐτῶν ἦν ἀνάγκη περιφέρειν O$^1$ O$^3$ ὁ δὲ ὅμηρος οὐ νοήσας τὸ τῆς ἀποκρίσεως τῶν ἁλιέων O$^1$ O$^3$ τὸ λεχθὲν A$^6$ E$^1$ P$^9$ 47 ἐτελεύτησεν ὑπὸ τῆς θλίψεως ἐν ἴῳ τῇ νήσῳ καὶ ἔθαψαν O$^1$ O$^3$ ἐν ἴῳ τῇ νήσῳ om. A$^6$ E$^1$ P$^9$ 48 ἰῶται A$^6$ : ἶται (ss. ῶ) M$^2$ : ἰτῖται A$^7$ : ἰῆσαι Bm$^3$ τοῦ τάφου V$^3$ αὐτοῦ add. A$^4$ E$^1$ P$^9$ U$^6$ 49 ἐπιγεγραμμένον om. ἔτι A$^3$ A$^4$ A$^5$ A$^6$ E$^1$ P$^6$ P$^9$ U$^6$ V$^3$ : ἔτι ἐπιγεγραμμένον M$^1$ corr. Westermann 51, 52 = Anth. Pal. vii. 3, vit. Herod. 515 ann. 51 γαῖαν Bm$^3$ M$^1$ 52 add. θανὼν ὅμηρος ἄγεται πρὸς τὸν τάφον Bm$^3$ H M$^1$

VI. *Codices*: Ma$^2$ Ve 1 τὸ μὲν . . . 5 ποιητοῦ om. Ma$^2$ 6 μὲν οὖν om. Ma$^2$ 7 ὁ μελοποιὸς om. Ma$^2$ 8 αὐτὸν] τὸν ὅμηρον Ma$^2$ ἐν τοῖς ἐπιγράμμασιν om. Ma$^2$ cf. Theocr. Idyll. vii. 47 xxii. 218 (Χῖος ἀοιδός). προσέτι δὲ Θεόκριτος φάσκων οὕτως [citatis vii. 47, 48] Tzetzes Exeg. in Il. 7. 16

φησὶ γεγονέναι· Ἱππίας δ᾽ αὖ ⟨F. H. G. ii. 62 fr. 8⟩ καὶ Ἔφορος ⟨fr. 164⟩ Κυμαῖον· ὁ δ᾽ Ἔφορος καὶ εἰς Χαρίφημον ἀνάγει τὸ γένος αὐτοῦ, ὁ δὲ Χαρίφημος οὗτος Κύμην ᾤκησε· Τιμόμαχος ⟨F. H. G. iv. 522⟩ δὲ καὶ Ἀριστοτέλης ⟨fr. 66 R.⟩ ἐξ Ἴου τῆς νήσου. κατὰ δ᾽ Ἀντίμαχον ⟨F. H. G. ii. 58 fr. 18⟩ Κολοφώνιος, κατὰ δὲ Στησίμβροτον τὸν Θάσιον ⟨F. H. G. ii. 58 fr. 18⟩ Σμυρναῖος, κατὰ Φιλόχορον ⟨fr. 54 C⟩ δ᾽ Ἀργεῖος, κατὰ Καλλικλέα δὲ τῆς ἐν Κύπρῳ Σαλαμῖνος. Ἀριστόδημος δ᾽ ὁ Νυσαεὺς ⟨F. H. G. iii. 307⟩ Ῥωμαῖον αὐτὸν ἀποδείκνυσιν ἔκ τινων ἐθῶν παρὰ Ῥωμαίοις μόνον γινομένων, τοῦτο μὲν ἐκ τῆς τῶν πεσσῶν παιδιᾶς, τοῦτο δὲ ἐκ τοῦ ἐπανίστασθαι τῶν θάκων τοὺς ἥσσονας τῶν βελτίστων ἑκόντας, ἃ καὶ νῦν ἔτι φυλάσσεται παρὰ Ῥωμαίοις ἔθη. ἄλλοι δ᾽ Αἰγύπτιον αὐτὸν εἶπον διὰ τὸ †ἢ† παράγειν τοὺς ἥρωας ἐκ στόματος ἀλλήλους φιλοῦντας, ὅπερ ἐστὶν ἔθος τοῖς Αἰγυπτίοις ποιεῖν. πατρὸς δὲ κατὰ μὲν Στησίμβροτόν ⟨deest F. H. G. ii. 58⟩ ἐστι Μαίονος τοῦ Ἀπέλλιδος καὶ μητρὸς Ὑρνηθοῦς ἢ Κρηθηΐδος, κατὰ δὲ Δείναρχον Κρήθωνος, κατὰ δὲ Δημοκρίνην Ἀλήμονος, κατὰ δὲ τοὺς πλείστους Μέλητος τοῦ κατὰ Σμύρναν ποταμοῦ, ὃς ἐπ᾽ ὀλίγον ῥέων εὐθέως εἰς τὴν παρακειμένην θάλασσαν ἐκδίδωσιν. Ἀριστοτέλης ⟨fr. 66 R.⟩ δὲ ἱστορεῖν φησιν †λητὰς ἔκ τινος δαίμονος γεγενῆσθαι τὸν Ὅμηρον ταῖς Μούσαις

14 Ἀντίμαχος δὲ Κολοφώνιον, Στησίμβροτος δὲ Σμυρναῖον, Φιλόχορος δ᾽ Ἀργεῖον, Καλλικλῆς δὲ Σαλαμίνιον, Ἀριστόδημος κτλ. Ma² 17 Callicles (D)masagoran patrem Homeri habuit Cert. 21 18 νυσσαεὺς ex νι- Ma² 19–34 inf. ἐθῶν ῥωμαικῶν. ἄλλοι δ᾽ Αἰγύπτιον. καὶ πατέρας πολλοὺς λέγουσιν. Ἡρακλείδης Ma² om. cet. 27 Δείναρχον] cf. Demetrius Magnes ap. Dion. Hal. de Din. 1 fr. 52 Scheuber Δεινάρχοις δ᾽ ἐνετύχομεν τέτταρσιν . . . τέταρτος δ᾽ ὁ περὶ Ὁμήρου λόγον συντεθεικώς 28 καὶ ῥήθωνος Ve: Καιρήθωνος Sittl: Κρήθωνος Piccolomini Δημόκριτος δὲ ὁ Τροιζήνιος Δαήμονα ἔμπορον Cert. 21 ubi v. 31 Ἰήτας Sittl: λῃστὰς Piccolomini: possis φιλητάς, cf. vit. Plut. i. 3 Ἀριστοτέλης δὲ ἐν τῷ τρίτῳ περὶ ποιητικῆς ἐν Ἴῳ φησι τῇ νήσῳ, καθ᾽ ὃν καιρὸν Νηλεὺς ὁ Κόδρου τῆς Ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρην τινα τῶν ἐπιχωρίων γενομένην ὑπό τινος δαίμονος τῶν συγχορευτῶν ταῖς Μούσαις ἐγκύμονα, αἰδεσθεῖσαν τὸ συμβὰν διὰ τὸν ὄγκον τῆς γαστρὸς ἐλθεῖν εἴς τι χωρίον τὸ καλούμενον Αἴγιναν· εἰς ὃ καταδραμόντας λῃστὰς ἀνδραποδίσαι τὴν προειρημένην, κτλ. 32 ἐκ τηνος Ve

συγχορεύσαντος. περὶ δὲ τῶν χρόνων καθ' οὓς ⟨ ⟩ ἤκουεν ὧδε λέγεται. Ἡρακλείδης ⟨F. H. G. ii. 197⟩ μὲν οὖν αὐτὸν ἀποδείκνυσι πρεσβύτερον Ἡσιόδου, Πύρανδρος ⟨F. H. G. iv. 486 fr. 3⟩ δὲ καὶ Ὑψικράτης ⟨F. H. G. iii. 493, 4⟩ ὁ Ἀμισηνὸς ἡλικιώτην. Κράτης δ' ὁ Μαλλώτης ⟨fr. ed. Wachs. p. 40⟩ μεθ' ἑξήκοντα ἔτη τοῦ Ἰλιακοῦ πολέμου φησὶν ἀκμάσαι, Ἐρατοσθένης δὲ μεθ' ἑκατὸν τῆς Ἰώνων ἀποικίας, Ἀπολλόδωρος ⟨fr. 74⟩ δὲ μετ' ὀγδοήκοντα. ἐκαλεῖτο δ' ἐκ γενετῆς Μελησιγένης ἢ Μελησαγόρας, αὖθις δ' Ὅμηρος ἐλέχθη κατὰ τὴν Λεσβίων διάλεκτον, ἕνεκεν τῆς περὶ τοὺς ὀφθαλμοὺς συμφορᾶς, οὗτοι γὰρ τοὺς τυφλοὺς ὁμήρους λέγουσιν, ἢ διότι παῖς ὢν ὅμηρον ἐδόθη βασιλεῖ, ὅ ἐστιν ἐνέχυρον. τυφλωθῆναι δ' αὐτὸν οὕτω πως λέγουσιν· ἐλθόντα γὰρ ἐπὶ τὸν Ἀχιλλέως τάφον εὔξασθαι θεάσασθαι τὸν ἥρωα τοιοῦτον ὁποῖος προῆλθεν ἐπὶ τὴν μάχην τοῖς δευτέροις ὅπλοις κεκοσμημένος· ὀφθέντος δ' αὐτῷ τοῦ Ἀχιλλέως τυφλωθῆναι τὸν Ὅμηρον ὑπὸ τῆς τῶν ὅπλων αὐγῆς, ἐλεηθέντα δ' ὑπὸ Θέτιδος καὶ Μουσῶν τιμηθῆναι πρὸς αὐτῶν τῇ ποιητικῇ. ἄλλοι δέ φασι τοῦτο αὐτὸν πεπονθέναι διὰ μῆνιν τῆς Ἑλένης ὀργισθείσης αὐτῷ διότι εἶπεν αὐτὴν καταλελοιπέναι μὲν τὸν πρότερον ἄνδρα, ἠκολουθηκέναι δ' Ἀλεξάνδρῳ· οὕτως γοῦν ὅτι καὶ παρέστη αὐτῷ φασὶν νυκτὸς ἡ ψυχὴ τῆς ἡρωΐνης παραινοῦσα καῦσαι τὰς

33 συγχωρήσαντος Ve em. Sittl cl. Plut. ἤκμαζεν Sittl : ἤκμασεν Piccolomini : an ⟨ποιητὴς⟩ ἤκουεν? 34 μὲν πρεσβύτερον ἡσίοδον λέγει Ma² 35 ὕρανδρος Ma² : ζι [= ζήτει] ὕρανδρος Ve em. ut videtur Westermann 37 ὁ Ἀμισηνὸς om. Ma² : ἀμισινὸς Ve ὁ Μαλλώτης om. Ma² 39 φησὶν ἀκμάσαι] γεγονέναι φησὶν αὐτόν Ma² 41 ἐκ γενετῆς om. Ma² μελησιγένης om. Ve : μελισσογενὴς Ma² μελισαγόρας Ma² 43–44 ἔπειτα Ὅμηρος ἐξ ὅτου ἐτυφλώθη ἢ ὅτι παῖς Ma² 44 τῷ βασιλεῖ Ma² 45 ὅ ἐστιν ἐνέχυρον om. Ma² τυφλωθῆναι sqq.] ita Ma² : τυφλωθῆναι δ' αὐτὸν λέγουσιν ἢ διὰ μῆνιν τῆς Ἑλένης ὀργισθείσης αὐτῷ εἰπόντι αὐτὴν ἀπολιπεῖν Μενέλαον [μενε (ss. λ)] καὶ ἀκολουθῆσαι Ἀλεξάνδρῳ, ἢ ἐλθόντα εἰς τὸν τάφον τοῦ Ἀχιλλέως εὔξασθαι αὐτὸν ἰδεῖν ἔνοπλον καὶ ὑπὸ τῆς αὐγῆς τῶν ὅπλων τυφλωθῆναι, ἐλεηθῆναι δ' ὑπὸ Θέτιδος καὶ Μουσῶν. ἀποθανεῖν κτλ. 51 sqq. cf. Stesich. fr. 32, Isocr. Helen. 65, λέγουσι δέ τινες τῶν Ὁμηριδῶν ὡς ἐπιστᾶσα τῆς νυκτὸς Ὁμήρῳ κτλ. 55 φησιν Ve

ποιήσεις αὐτοῦ . . . εἰ τοῦτο ποιήσοι πρόσχοι. τὸν δὲ μὴ ἀνασχέσθαι ποιῆσαι τοῦτο. ἀποθανεῖν δ' αὐτὸν λέγουσιν ἐν Ἴῳ τῇ νήσῳ ἀμηχανίᾳ περιπεσόντα ἐπειδήπερ τῶν παίδων τῶν ἁλιέων οὐχ οἷός τ' ἐγένετο αἴνιγμα λῦσαι· ἔστι δὲ τοῦτο·

ἅσσ' ἕλομεν λιπόμεσθ' ἅσσ' οὐχ ἕλομεν φερόμεσθα.

καὶ αὐτοῦ ἐπὶ τῷ τάφῳ ἐπιγέγραπται ἐπίγραμμα τοῦτο·

ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

## VITA VII

Eustathius[1] in Od. 1713. 17.

Ἀλέξανδρος δὲ ὁ Πάφιος ἱστορεῖ τὸν Ὅμηρον υἱὸν Αἰγυπτίων Δμασαγόρου καὶ Αἴθρας· τροφὸν δὲ αὐτοῦ προφῆτίν τινα θυγατέρα Ὥρου ἱερέως Ἴσιδος, ἧς ἐκ τῶν μαστῶν μέλι ῥεῦσαί ποτε εἰς τὸ στόμα τοῦ παιδίου. καὶ τὸ βρέφος ἐν νυκτὶ φωνὰς ἐννέα προέσθαι· χελιδόνος, ταῶνος, περιστερᾶς, κορώνης, πέρδικος, πορφυρίωνος, ψαρός, ἀηδόνος καὶ κοττύφου. εὑρεθῆναί τε τὸ παιδίον μετὰ περιστερῶν ἐννέα παῖζον ἐπὶ τῆς κλίνης, εὐωχουμένην δὲ παρὰ τοῖς τοῦ παιδὸς τὴν Σίβυλλαν ἐμμανῆ γεγονυῖαν ἔπη σχεδιάσαι, ὧν ἀρχὴ

Δμασαγόρα πολύνικε,

ἐν οἷς καὶ μεγακλεῆ καὶ στεφανίτην αὐτὸν προσειπεῖν, καὶ ναὸν κτίσαι κελεῦσαι ἐννέα Πιερίδων· ἐδήλου δὲ τὰς μούσας. τὸν δὲ καὶ τοῦτο ποιῆσαι καὶ τῷ παιδὶ ἀνδρωθέντι ἐξειπεῖν τὸ πρᾶγμα. καὶ τὸν ποιητὴν οὕτω σεμνῦναι τὰ

56 'lacuna septem circiter litterarum' Piccolomini: [τὴν ὄψιν ἂν αὐτῷ] παράσχοι Piccolomini 57 λέγουσιν] φασιν Ma²: sq. Ma² νήσῳ ἢ νόσῳ ἢ τῷ τῶν ἁλιέων αἰνίγματι, καὶ αὐτῷ ἐπιγραφῆναι τόδε· 63 ἱεράν (ss. η) Ma² 63, 64 = Anth. Pal. vii. 3, v. ad vit. Herod. 515

[1] Paphium Alexandrum non invenimus: mirum ni idem sit atque Myndius, cuius θαυμασίων συναγωγή legit Photius bibl. 188. v. Wellmann, *Hermes* xxvi (1891). Eustathiana exscripserunt Allatius *de patria Homeri* c. 4, Barnes ad μ 63

2 cf. Cert. 21 12 πεγρίδων editio

*ζῷα οἷς βρέφος ὢν συνέπαιζε, καὶ ποιῆσαι αὐτὰ τῷ Διὶ τὴν ἀμβροσίαν κομίζοντα.*

Ioannes Tzetzes cum binas Homeri vitas reliquerit quae novi aliquid adferant, visum est alteram ceteris subiungere sine lectionis varietate:

(1) Chil. xiii. 626 sqq. ed. Kiessling.

*Ὁ Ὅμηρος ὁ πάνσοφος ἡ θάλασσα τῶν λόγων*
*πλὴν γέμουσα τοῦ νέκταρος οὐχ ἁλμυρῶν ὑδάτων,*
*ἑπτὰ πατρίδων λέγεται τυγχάνειν ἀμφιβόλων.*
*ἑπτὰ πατέρων γέννημα καὶ τούτων ἀμφιβόλων.*
*σὺ δὲ Σμυρναῖον γίνωσκε τὸν Ὅμηρον ὑπάρχειν,*
*υἱὸν δὲ δὴ τοῦ Μέλητος ὄντα καὶ Κριθηΐδος*
*ἐῶ τὰ μυθωδέστερα γονῆς τῆς τούτου λέγειν.*
*διδάσκαλον Ὁμήρου δὲ τὸν Πορναπίδην νόει.*
*σύνευνος ἦν Ὁμήρου δὲ τὴν κλῆσιν Εὐρυδίκη,*
*Γνώστορος εἴτε Πάστορος θυγάτηρ τοῦ Κυμαίου.*
*Σερίφων καὶ Θεόλαος υἱοὶ δὲ τοῦ Ὁμήρου·*
*θυγάτηρ Ἀρσιφόνη δέ, ἣν ἔγημε Στασῖνος,*
*Στασῖνος ὁ τὰ Κύπρια συγγράμματα ποιήσας*
*ἅπερ οἱ πλείους λέγουσιν Ὁμήρου πεφυκέναι,*
*εἰς προῖκα δὲ σὺν χρήμασι δοθῆναι τῷ Στασίνῳ*
*Ἀρκτῖνος ὁ Μιλήσιος ἦν μαθητὴς Ὁμήρου,*
*καὶ δοῦλος δὲ τῷ ποιητῇ κλῆσιν ὑπῆρχε Βύκκων*
*ὃν βίκωνα καὶ φλάσκωνα παίζων ὁ Τζέτζης λέγει.*
*βιβλία τοῦ Ὁμήρου δὲ τρία εἰσὶ καὶ δέκα.*
*ὁ χρόνος τούτου σύγχρονος ἦν ἐκστρατείας δύο,*
*Θηβαικῇ καὶ Τρωικῇ κατὰ πολλοὺς ἑτέρους.*
*ὁ δ' Ἀπολλόδωρος αὐτὸς ὁ χρονογράφος λέγει*
*τελεῖν μετ' ὀγδοήκοντα ἔτη τῆς Τρώων μάχης.*
*Ἡσίοδος δὲ ἤκμαζεν ὡς εὗρον ἐν ἑτέροις,*
*κατὰ τὴν ἑνδεκάτην μὲν αὐτὴν Ὀλυμπιάδα.*

633 Pronapiden praebebat Diod. iii. 66, cf. Exeg. in Iliad. 14. 12    634, 635 Eurydice, Pastor, nova    636 Σερίφων audit Ἐρίφων Suid. 37    637 Aresiphonen uxorem fert Suid. 34    642 Byccon novum

*τοιάδε τῷ Ὁμήρῳ δὲ ἡ τελευτὴ συνέβη.*
*ἦν προχρησθὲν θανεῖν αὐτὸν ὅταν ἠρωτημένος*
*οὐ δυνηθῇ τὸ αἴνιγμα ἐκεῖνο ἐπιλῦσαι.*
*πένης τελῶν δὲ ὁ ἀνὴρ καί γε τυφλὸς ἐκ γήρως·*
*τὰ μυθικὰ ληρήματα τίς γὰρ φρονῶν ἐγγράφοι;*
*ἁπανταχοῦ διήρχετο τὰς χώρας τῆς Ἑλλάδος*
*λέγων αὐτοῦ ποιήματα δεχόμενος ἐντίμως*
*εἰς δ' Ἀρκαδίαν ξενισθεὶς ὑπὸ τοῦ Κρεωφύλου*
*περιπατήσων ἔρχεται ἐπὶ τὴν παραλίαν.*
*ὡς δ' εἶπεν ἄνδρες ἁλιεῖς Ἀρκάδες ἔχομέν τι;*
*οἱ δ' ἀπεκρίθησαν αὐτῷ περὶ φθειρῶν λαλοῦντες*
*ὡς οὓς εἷλον οὐκ ἔχουσιν, ἔχουσι δ' οὕς περ εἷλον,*
*ὑπέστρεφε λυπούμενος ὡς μὴ νοήσας τοῦτο.*
*πηλοῦ δ' ὄντος ὠλίσθησε καὶ κεκρουκὼς εἰς πέτραν*
*κλᾶται πλευρὰν τὴν δεξιὰν καὶ τελευτᾷ τριταῖος.*

Cf. et xii. 183–205.

(2) Exeges. in Iliad. ed. Hermann 1812, p. 7. 12–38 9 cum paucissima tantum proferat nova, satis duximus in adnotationibus ceterarum vitarum adscribere si quando opus esset.

Eustathius in Iliadem 4. 17

*Ὁμήρου δὲ γένος οὐδ' αὐτὸ περιεργασόμεθα. εἴρηται γὰρ πολλοῖς ἑτέροις ὡς οὐκ ἂν ἡμεῖς κρειττόνως εἴπωμεν. εἰ μὴ ἄρα τοῦτο καὶ μόνον ῥητέον κατὰ τὸ ἐπιτρέχον, ὅτι ἐπικρύψας ἑαυτὸν ὁ ποιητὴς καὶ σιγήσας ὅστίς ποτε καὶ ὅθεν ἦν, περιμάχητος μᾶλλον ἐγένετο καὶ πολύπατρις. ἔστι γὰρ κατὰ τὴν τῶν ποθούντων ἔφεσιν καὶ Ἰήτης καὶ Σμυρναῖος καὶ Ἀθηναῖος καὶ Αἰγύπτιος, ἤδη δὲ καὶ Ἰταλός. ἀμφισβητοῦσι δ' αὐτοῦ καὶ Χῖοι μαρτύριον προχειριζόμενοι τοὺς καλουμένους Ὁμηρίδας ὧν καὶ Πίνδαρος μέμνηται. καὶ ἕτεροι δὲ πολλοὶ Ὁμήρου μεταποιοῦνται σφετεριζόμενοι καὶ ἁβρυνόμενοι αὐτὸν ἔχειν πολίτην ἢ ἑτέροις ἀγαθοῖς σεμνύνεσθαι.*

658 cf. Exeg. in Iliad. 37. 17 sqq. ubi *ἐν Ἴῳ τῆς Ἀρκαδίας.*

Capitulum super Homerum Suidae cum e vita aliqua peculiari, excerptis e Dioscuridis libro de legibus, vita Herodotea in artius redacta, constet, visum est integrum edere. codices post Gaisfordium novos nemo adhuc attulit: Anglos atque Parisinos contulimus nos, Bruxellensem summa humanitate J. Bidez. adiecimus Bm $O^2$ $R^1$ $R^2$ $V^2$. ceterum collationes Gaisfordianas satis accuratas esse comperimus.

Bm = cod. Mus. Brit. add. MSS. 11892, 11893. chart. mm. 290 × 210, ff. 296 et 367. f. 366 v. *ἐτελειώθη τὸ παρὸν βιβλίον ἡ σου$^{δ}$ διὰ χειρὸς ἐμοῦ γεωρ$^{γι}$ τοῦ βαϊοφόρου ἐν ἔτει ϛῶ ϡῶ δεκάτω· ν·$^{ος}$ δεκάτ$^{ης}$ μηνὶ ἰου$^{νϊ}$ ιεη·* [= a. D. 1402]. fuit olim Benedictinorum B. Mariae Florentiae, quorum inscriptiones in utroque tomo erasae sunt. v. Montfaucon Pal. Gr. p. 76.

E = cod. Bruxellensis 59 (11281). chart. mm. 300 × 204, ff. 633, a. 1475. scripsit Ioannes *ἐν τῇ κορώνῃ* (v. cat. Omontii, p. 21).

F = cod. Laur. lv. 1. chart. in fol. ff. 331, a. 1422 (*χειρὶ πέτρου κρητικοῦ τοῦ ἐκ ῥεθέμνου πόλεως ἐγράφη ἐν πόλει μαντούᾳ*): v. cat. Bandinianum t. ii. 213.

$O^1$ = cod. Bodl. Auct. v. 52 a, b [Gaisfordii D]. chart. mm. 310 × 200, ff. 404, 365, s. xv.

$O^2$ = cod. Bodl. Auct. v. 53. chart. mm. 285 × 200, ff. 288, s. xiv (est autem epitome).

$O^3$ = cod. coll. Corporis Christi Oxon. 76, 77 [Gaisfordii C]. chart. mm. 390 × 275, ff. 280, 328, s. xv–xvi.

$P^1$ = cod. Paris. graec. 2622. chart. mm. 275 × 185, ff. 600, s. xiii [Gaisfordii B] fuit Antonii Eparchi.

$P^2$ = cod. Paris. graec. 2623 [Gaisfordii G]. chart. mm. 400 × 275, ff. 284, s. xv. fuit Francisci Philelphi manu autem Caesaris Strategi.

$P^3$ = cod. Paris. graec. 2624 [Gaisfordii H]. chart. mm. 310 × 210, ff. 396, s. xv.

$P^4$ = cod. Paris. graec. 2625, 2626 [Gaisfordii A]. tomus alter: membr. mm. 480 × 345, ff. 291, s. xii.

$R^1$ = Vat. Ottobon. 58 chart. mm. 275 × 200, ff. 403. cont. f. 26–389 Iliad., 390–393 vit. Suideam, cuius imaginem photographicam praebuit Pompeius Sansaini annuente Francisco Ehrle.

$R^2$ = Vat. graec. 4 s. xv, capituli homerici imaginem praeb. Sansaini.

V Gaisfordii, scilicet cod. Leid. Voss. cat. p. 391, omisimus, cum ex $O^3$ fere a Stephano exscriptus sit.

$V^2$ = cod. Vindobonensis 39: capitulum Suidae Homero praefigit. v. f. 191.

Bm $O^3$ $R^2$ genuit $P^4$. Vat. 881 Urb. 161 pauca tantum praebere adfirmaverunt F. Ehrle, J. Bidez.

## 1093. 17 Bernh.

*Ὅμηρος ὁ ποιητὴς ἦν υἱὸς Μέλητος τοῦ ἐν Σμύρνῃ ποταμοῦ καὶ Κριθηΐδος νύμφης ὥς φησι Καστρίκιος ὁ Νικαεύς, ὡς δ' ἄλλοι φασὶν Ἀπόλλωνος καὶ Καλλιόπης τῆς Μούσης, ὡς δὲ Χάραξ φησιν ὁ ἱστορικὸς* ⟨F. H. G. iii.

1 *ἦν υἱὸς* $V^2$ sol. 2 *κριϊθ-* (ss. *η*) $O^2$: *κριϊθ-* ϊ corr. ex *η* $O^3$ *νύμφης*] om. E F $O^3$ $R^1$ $V^2$: *γράφης*, *γρα* in ras. m. p. $P^1$ *ὥς . . . νικαεύς* $V^2$ sol. de Castricio Firmo v. Porph. vit. Plotin. 7, Damasc. vit. Isidor. 275 Did. 3 *ἄλλη* $O^3$ *φησιν* $V^2$: om. $R^1$ 4 *φησιν* om. $R^1$

641 fr. 20⟩ Μαίονος ἢ Μητίου καὶ Εὐμήτιδος μητρός, κατὰ δ' ἄλλους ἦν υἱὸς Τηλεμάχου τοῦ υἱοῦ Ὀδυσσέως καὶ Πολυκάστης τῆς Νέστορος. ἔστι δ' ἡ τοῦ γένους τάξις κατὰ τὸν ἱστορικὸν Χάρακα αὕτη. Αἰθούσης Θρᾴσσης Λίνος, τοῦ δὲ Πίερος, τοῦ δ' Οἴαγρος, τοῦ δ' Ὀρφεύς, τοῦ δὲ Δρής, τοῦ δ' Εὐκλέης, τοῦ δ' Ἰδμονίδης, τοῦ δὲ Φιλοτέρπης, τοῦ δ' Εὔφημος, τοῦ δ' Ἐπιφράδης, τοῦ δὲ Μελάνωπος, τοῦ δ' Ἀπελλῆς, τοῦ δὲ Μαίων, ὃς ἦλθεν ἅμα ταῖς Ἀμαζόσιν ἐν Σμύρνῃ καὶ γήμας Εὔμητιν τὴν Εὐέπους τοῦ Μνησιγένους ἐποίησεν Ὅμηρον. ὁμοίως δὲ καὶ κατὰ τὴν πατρίδα ἀμφίβολος διὰ τὸ ἀπιστηθῆναι ὅλως εἶναι θνητὸν τῷ μεγέθει τῆς φύσεως. οἱ μὲν γὰρ ἔφασαν γενέσθαι Σμυρναῖον, οἱ δὲ Χῖον, οἱ δὲ Κολοφώνιον, οἱ δ' Ἰήτην, οἱ δὲ Κυμαῖον, οἱ δ' ἐκ Τροίας ἀπὸ χωρίου Κεγχρεῶν, οἱ δὲ Λυδόν, οἱ δ' Ἀθηναῖον, οἱ δ' Ἰθακήσιον, οἱ δὲ Κύπριον, οἱ δὲ Σαλαμίνιον, οἱ δὲ Κνώσσιον, οἱ δὲ Μυκηναῖον, οἱ δ' Αἰγύπτιον, οἱ δὲ Θετταλόν, οἱ δ' Ἰταλιώτην, οἱ δὲ Λευκανόν, οἱ δὲ Γρύνιον, οἱ δὲ Ῥωμαῖον, οἱ δὲ Ῥόδιον. καὶ προσηγορεύετο μὲν κυρίως Μελησιγένης· καὶ γὰρ ἐτέχθη παρὰ τῷ Μέλητι ποταμῷ κατὰ τοὺς Σμυρναῖον αὐτὸν γενεαλογοῦντας. ἐκλήθη δ' Ὅμηρος διὰ τὸ πολέμου ἐνισταμένου Σμυρναίοις

5 *μάρονος* $O^1 P^1 P^2 P^3$ : *μάρωνος* E $R^1 V^2$, cf. iv. 1, Proc. 99. 15, 100. 1 *μιτίου* E F $O^1 O^3 P^1 P^2 P^3 R^1$ : *ἢ μητίου* om. $V^2$ *εὐμήτιδος υἱός* $P^2$ 6 *ἦν υἱὸς* et *υἱοῦ* $V^2$ sol. 7 *τῆς θυγατρὸς νέστορος* $V^2$ *ἔστι . . .* 14 *ὅμηρον* om. $V^2$ 8 *χάρακα*] *χάρωνα* $P^3$ *αἰσθούσης* $O^3$ : *Θοώσης* Cert. 49 *θράσης* (ss. *σ*) $O^3$ 10 *Δρής*] *Ὄρτην* Cert. 49 *ἰδμονίκης* $O^1$ : *ἰδμονίδου* Bm : *ἰαμονίδης* E $R^1$ : *Ἁρμονίδην* Cert. 49 11 *ἔφημος* $P^2$ 12 *ἀπελλής* $O^1 P^1 P^2 P^3$ 13 *ἐν σμύρνῃ*] *ἐς σμύρνη* $O^1$ : *ἐν σμύρνην* $P^3$ : *ἐς σμύρνην* E F $P^1 P^2 R^1$ *εὐέπη* $O^3$ *εὐεποῦς* E $P^2 R^1$ 14 *ὅμηρος* $O^1$ *κατὰ* $V^2$ sol. 15 *ὅλον ὡς* Bm 16 *γενέσθαι*] *εἶναι τοῦτον* $V^2$ 17 *οἱ δ' ἰήτην* om. $R^1 V^2$ 18 *ἀπὸ . . . κεγχρεῶν* om. $V^2$ *χώρας* praeter $P^4 R^2$ codd. *κεγχρεῶν* Bernhardy : *κεγχρεὼν* Bm $O^3$ : *κεγχρέων* cet. 19 *οἱ δ' ἀθηναῖον οἱ δ' αἰγύπτιον* Bm $P^4 R^2$ *οἱ δὲ κύπριον οἱ δὲ κνώσσιον* Bm $P^4 R^2$ 21 *λεύκανον* $P^1 P^2 P^3$ 22 *γρύνιον* Bm $P^4 R^2$ : *γρύϊον* $R^1$ : *γρύινον* cet. *καὶ ῥωμαῖον* $P^4 R^2$ *καὶ* ante *προσηγ.* om. $V^2$ 23 *μελησιγενὴς* Bm E $O^1 O^3 P^2 P^3 R^1$ corr. $R^2$ *καὶ γὰρ*] *διότι* $V^2$ : *ἐν γὰρ* $R^1$ ss. *καὶ* *τῷ* om. $P^2$ 24 *μέλιτι* $O^1$ *κατὰ . . . γενεαλ.*] *ὡς οἱ ἀξιόπιστοι τῶν ἱστορικῶν φασίν* $V^2$ 25 *ἐκλήθη δ' ὕστερον* $V^2$ *διὰ τὸ* sqq.] *διὰ τὸ δοθῆναι αὐτὸν πρὸς κολοφωνίους ὅμηρον ὑπὸ σμυρναίων πολέμου συμβάντος* $V^2$ *διὰ τοῦ* $O^3$ *σμυρναίας* $P^1 P^2 P^3$

πρὸς Κολοφωνίους ὅμηρον δοθῆναι, ἢ τὸ βουλευομένων Σμυρναίων δαιμονίᾳ τινι ἐνεργείᾳ φθέγξασθαι καὶ συμβουλεῦσαι ἐκκλησιάζουσι περὶ τοῦ πολέμου. γέγονε δὲ πρὸ τοῦ τεθῆναι τὴν πρώτην ὀλυμπιάδα πρὸ ἐνιαυτῶν νζʹ. Πορφύριος δ' ἐν τῇ φιλοσόφῳ ἱστορίᾳ ⟨fr. ii. p. 5 Nauck⟩ πρὸ ρλβʹ φησιν. ἐτέθη δ' αὕτη μετὰ τὴν Τροίας ἅλωσιν ἐνιαυτοῖς ὕστερον υζʹ. τινὲς δὲ μετὰ ρξʹ μόνους ἐνιαυτοὺς τῆς Ἰλίου ἁλώσεως τετέχθαι ἱστοροῦσιν Ὅμηρον· ὁ δὲ ῥηθεὶς Πορφύριος μετὰ σοέ. γήμας δ' ἐν Χίῳ Ἀρησιφόνην τὴν Γνώτορος τοῦ Κυμαίου θυγατέρα ἔσχεν υἱεῖς δύο καὶ θυγατέρα μίαν, ἣν ἔγημε Στασῖνος ὁ Κύπριος. οἱ δ' υἱεῖς Ἐρίφων καὶ Θεόλαος. ποιήματα δ' αὐτοῦ ἀναμφίλεκτα Ἰλιὰς καὶ Ὀδύσσεια. ἔγραψε δὲ τὴν Ἰλιάδα οὐχ ἅμα, οὐδὲ κατὰ τὸ συνεχὲς ὥσπερ σύγκειται, ἀλλ' αὐτὸς μὲν ἑκάστην ῥαψῳδίαν γράψας καὶ ἐπιδειξάμενος τῷ περινοστεῖν τὰς πόλεις τροφῆς ἕνεκεν ἀπέλιπεν. ὕστερον δὲ συνετέθη καὶ συνετάχθη ὑπὸ πολλῶν καὶ μάλιστα ὑπὸ Πεισιστράτου τοῦ τῶν Ἀθηναίων τυράννου. ἀναφέρεται δ' εἰς αὐτὸν καὶ ἄλλα τινα ποιήματα· Ἀμαζονία, Ἰλιὰς μικρά, Νόστοι,

26 ὅμηρος O³ ἢ τὸ . . . 28 πολέμου om. V² ἢ τὸ E F P¹ P² P³ : ἢ διὰ τὸ O¹ : ἢ ὅτι Bm O³ P⁴ R² βουλομένων R¹ 27 φθέγξασθαι om. O³ καὶ om. E O¹ P¹ P² P³ 28 τοῦ om. O³ καὶ γέγονε δὲ Bm O³ P⁴ R² 29 τοῦ om. O³ πεντηκονταεπτά R² 30 sqq. ἱστοροῦσι δὲ αὐτὸν τεχθῆναι μετὰ ρξ ἐνιαυτοὺς κατὰ δὲ τὸν πορφύριον μετὰ σόε ἐνιαυτοὺς τῆς ἁλώσεως ἰλίου om. cet. V² 31 ρλʹ E F O¹ R¹ τρώασ O³ 32 νξʹ R¹ μόνους om. praeter Bm P⁴ codd. 33 τετάχθαι O³ P³ 34 σοε, σ in ras., O¹ ἐν χίῳ om. V² 35 cf. Tzetz. Chil. xiii. 634 σύνευνος ἦν Ὁμήρου δὲ τὴν κλῆσιν Εὐρυδίκη | Γνώστορος εἴτε Πάστορος θυγάτηρ τοῦ Κυμαίου. θυγατεράς O³ : τὴν θυγατέρα γνώτορος V² 36 μίαν V² sol. ὁ κύπριος] ὁ ὕπατος κυπρίων V² υἱεῖς αὐτοῦ ὠνομάζοντο V² 37 Σερίφων καὶ Θεόλαος υἱοὶ δὲ τοῦ Ὁμήρου | θυγάτηρ Ἀρσιφόνη δέ, ἣν ἔγημε Στασῖνος Tzetzes l. c. 636. Euryphontis Homeri patris genealogia in voce Τέρπανδρος. εἰσὶ δὲ ποιήματα αὐτοῦ ἀναμφίλεκτα ἔγραψε δὲ τὴν ἰλιάδα V² ἀναφίλεκτα P³ 39 καθάπερ αὐτὸς μὲν περινοστῶν τὰς πόλεις ἔγραφεν ἑκάστην ῥαψῳδίαν V², om. γράψας . . . 41 πόλεις V² 40 ἑκάστης ῥαψωδίας O³, om. γράψας ἐπιδείξας E F P¹ P² P³ R¹ 41 ἀπέλιπε τοῖς πολίταις V² συνετέχθη καὶ συνετάχθη Bm. (om. καὶ) P² 42 καὶ συνετάχθη om. O² 43 τοῦ om. P⁴ τῶν om. Bm R² 44 νόστοι om. V²

Ἐπικιχλίδες, Ἠθιέπακτος ἤτοι Ἴαμβοι, Μυοβατραχομαχία, Ἀραχνομαχία, Γερανομαχία, Κεραμίς, Ἀμφιαράου ἐξέλασις, παίγνια, Σικελίας ἅλωσις, Ἐπιθαλάμια, κύκλος, ὕμνοι, Κύπρια. γηραιὸς δὲ τελευτήσας ἐν τῇ νήσῳ τῇ Ἴῳ τέθαπται, τυφλὸς ἐκ παίδων γεγονώς, τὸ δ' ἀληθὲς ὅτι οὐχ ἡττήθη ἐπιθυμίας ἣ παρὰ τῶν ὀφθαλμῶν ἄρχεται καὶ παρὰ τοῦτο ἱστορήθη τυφλός. ἐπιγέγραπται δ' ἐν τῷ τάφῳ αὐτοῦ τόδε τὸ ἐλεγεῖον, ὃ ὑπὸ τῶν Ἰητῶν ἐποιήθη χρόνῳ πολλῷ ὥς φησι Καλλίμαχος·

*ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει*
*ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.*

φησὶ δὲ Διοσκουρίδης ⟨F. H. G. ii. 193⟩ ἐν τοῖς παρ' Ὁμήρῳ νόμοις ὅτι ὁ ποιητὴς ὁρῶν τὴν σωφροσύνην οἰκειοτάτην ἀρετὴν οὖσαν καὶ πρώτην τοῖς νέοις, ἔτι δὲ ἁρμόττουσαν καὶ καλῶν χορηγὸν οὖσαν, βουλόμενος πάλιν ἐμφῦσαι αὐτὴν ἀπ' ἀρχῆς καὶ ἐφεξῆς, ἵνα τὴν σχολὴν καὶ τὸν ζῆλον ἐν τοῖς καλοῖς ἔργοις ἀναλίσκωσι, καὶ ὦσιν εὐεργετικοὶ καὶ

45 ἠθιέπακτος ἤτοι ἴαμβοι om. O$^2$ V$^2$ βατραχομαχία· μυοβατραχομαχία Bm O$^1$ O$^3$ P$^1$ P$^2$ P$^3$ P$^4$ R$^2$ : βρατραχομυομαχία· ἀραχνομαχία· βατραχομαχία E : μῦοβατραχομαχία sol. O$^2$ (μῦο fort. add.) : βατραχομυομ. R$^1$ 46 ἀραχνομαχία καὶ ἕτερα O$^2$ : ἀραχνομαχία om. P$^1$ κεραμίς . . . παίγνια om. V$^2$ κεραμεῖς O$^3$ ἐξέλευσις E F P$^2$ P$^3$ R$^1$ 47 πυθαλύμια P$^2$ 48 τέθαπται . . . 51 τυφλός om. V$^2$ 49 τυφλὸς δὲ O$^3$ 50 παρὰ] διὰ E F O$^1$ O$^2$ O$^3$ P$^1$ P$^3$ R$^1$ R$^2$ τὸν (ss. ω) ὀφθαλμὸν (ss. ω) R$^1$ ἔρχεται Davis in Cic. Tusc. v. 39, cl. Hesych. Miles. παρὰ alt.] διὰ R$^1$ 51 ἐκλήθη O$^3$ 52 αὐτῶν R$^1$ τότε E ἐπίγραμμα V$^2$ ἰητῶν] ποιητῶν O$^3$ χρόνῳ codd. : πολλῷ add. vit. Herod. 513 53 ὡς . . . Καλλίμαχος V$^2$ sol., cf. Callim. fr. 74 a et 390 Schn. Homerum ipsum epigramma scripsisse affirmat Tzetzes Exeg. Il. 37. 29, negat vit. Herod. 514. 54, 55 = Anth. Pal. vii. 3 54 ἱερὴν O$^3$ 56 φησὶ δὲ ὅμηρος· ὅτι διοσκ. P$^3$ ὅτι διοσκ. . . . νόμοις φησὶν R$^1$ R$^2$ om. cet. διοσκορίδης Bm E (ο ss. υ) P$^4$ R$^2$ 56 sqq. = Athen. 8 E–9 C cum titulo περὶ τοῦ τῶν ἡρώων καθ' Ὅμηρον βίου. cf. R. Weber, *Leipziger Studien* xi. 1. 89 sqq. (1888) 56 φησὶ . . . Ὁμήρῳ om. Ath. ὡς R$^1$ R$^2$ 57 ὁμήρου O$^3$ ὁρῶν ὁ ποιητὴς V$^2$ : ὅτι ὅμηρος ὁρῶν Ath. : οἰκειότατα O$^3$ : οἰκειότητα E 58 ἀρετὴν O$^3$ P$^4$ Ath. : ἀρετῶν cet. τοῖς νέοις καὶ πρώτην Ath. πρώτην et ἔτι δὲ om. Ath. ἁρμόζουσαν (ss. α) O$^3$ 59 καὶ καλῶν . . . 62 ἀλλήλους om. O$^3$ 59 καλὸν E πάντων τῶν καλῶν Ath. ἐμφυτεῦσαι R$^2$ ἐμφῦσαι πάλιν αὐτὴν Ath. 60 ἵνα om. R$^1$ τὸν om. R$^1$

κοινοὶ πρὸς ἀλλήλους, εὐτελῆ κατεσκεύασε πᾶσι τὸν βίον καὶ αὐτάρκη, λογιζόμενος τὰς ἐπιθυμίας καὶ τὰς ἡδονὰς ἰσχυροτάτας γίνεσθαι καὶ πρώτας, ἔτι τε καὶ ἐμφύτους οὔσας περὶ ἐδωδὴν καὶ πόσιν· τοὺς δὲ διαμεμενηκότας ἐν ταῖς εὐτελείαις εὐτάκτους καὶ περὶ τὸν ἄλλον βίον γινομένους ἐγκρατεῖς. ἐφ' ᾧ καὶ ἁπλῆν ἀποδέδωκε τὴν δίαιταν πᾶσι καὶ τὴν αὐτὴν ὁμοίως βασιλεῦσί τε καὶ ἰδιώταις λέγων

παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν·
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας,

καὶ τούτων ὀπτῶν καὶ ὡς ἐπιτοπολὺ βοείων. παρὰ δὲ ταῦτα οὔτε ἐν ἑορταῖς οὔτε ἐν γάμοις οὔτ' ἐν ἄλλῃ συνόδῳ παρατίθησιν οὐδέν· καίτοι πολλάκις τὸν Ἀγαμέμνονα ποιήσας δειπνίζοντα τοὺς ἀρίστους, Μενέλαόν τε τοὺς Ἑρμιόνης γάμους ποιοῦντα καὶ τοῦ υἱοῦ καὶ τῆς θυγατρός· καὶ τοῦ Τηλεμάχου πρὸς αὐτὸν παραγενομένου

νῶτα βοὸς παρέθηκεν ἀείρας
ὄπτ' ἐν χερσὶν ἑλὼν τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ.

οὐ γὰρ θρῖα καὶ κάνδυλον καὶ ἄμητας μελίπηκτά τε τοῖς

62 κοινοὶ Bm $P^4$ Ath. : κοινωνοὶ cet. ἀτελῆ $P^3$ πᾶσι om. $O^3$ 63 τὰς alterum om. $R^1$ 63 sqq. ἐπιθυμίας ἐμφύτους εἶναι περὶ ἐδωδὴν, cet. om., $O^3$ 64 καὶ πρώτας . . . οὔσας om. Ath. καὶ om. Bm $P^4$ ἐμφύτοις $R^1$ 65 περὶ om. $R^1$ ἐδωδὴν] ἡδονὴν Bm $P^4$ $R^2$ τοὺς δὲ . . . 67 ἐγκρατεῖς om. $O^3$ διαμενηκότας $O^1$ ἐν εὐτελείᾳ Ath. 66 γενομένους $P^2$ : γίνεσθαι Ath. 67 εὐκρατεῖς $O^1$ $P^1$ $P^2$ ἐφ' ᾧ καὶ om. Bm $P^4$ $R^2$ Ath. ἀπέδωκε $O^3$ ἁπλῆν οὖν ἀπέδωκε Ath. 68 πᾶσι om. $O^3$ τὴν ex τὸν $O^1$ αὐτὸν $O^1$ ὁμοίως] πᾶσι $O^3$ βασιλεῦσιν ἰδιώταις, νέοις πρεσβύταις Ath. 69–80 αὐτῷ om. Ath. 70–72 = α 138–141 (om. 140) al. 70 ξύστὴν F $O^1$ $P^1$ $P^2$ $P^3$ $R^1$ 72 κρεῶν Bm πίνα καὶ $O^1$ 74 οὔτε prius sqq.] οὐδὲν ἕτερον παρατίθησιν $O^3$ οὔτε ἐν ἑορταῖς om. $O^1$ ἐν ἑορτῇ Bm $P^4$ $R^2$ 76 μενέλαός τε Bm E $O^1$ $P^1$ $P^2$ $P^3$ $P^4$ $R^1$ $R^2$ τοὺς] τῆς Bm $O^3$ 77 ποιεῖται Bm E $O^1$ $P^2$ $P^3$ $P^4$ $R^1$ $R^2$ 79 = α 141 al. νῶτα βοός φησι παραθεῖναι· οὐ γὰρ $O^3$ 80 = δ 66 al. γέρα om. codd. praeter Bm $P^4$ $R^2$ 81 καὶ οὐ θρῖα Ath. : θρύα E F $O^1$ $P^1$ $P^2$ $P^3$ $R^1$ κάνδἄλον (ss. ῠ), ἄ fort. ex υ, $O^3$ : ἀμήδυλον $P^1$ : ἃ μήδυλον $P^2$ : ἃ μηδῦλον E : κανδύλην Athen. τοῖς βασιλεῦσιν . . . ὅμηρος om. $O^3$

βασιλεῦσιν ἐξαίρετα παρατίθησιν Ὅμηρος, ἀλλὰ ἀφ' ὧν εὖ ἕξειν ἔμελλον τὸ σῶμα καὶ τὴν ψυχήν. καὶ Αἴαντα μετὰ τὴν μονομαχίαν νώτοισι γέραιρεν ὁ Ἀγαμέμνων, καὶ τῷ Νέστορι γηραιῷ ὄντι κρέας ὀπτὸν βοὸς δίδωσι καὶ Ἀλκίνῳ δὲ τρυφερὸν ᾑρημένῳ βίον, σπουδάζων ἡμᾶς ἀποστῆσαι τῶν ἀτάκτων ἐπιθυμιῶν. καὶ Νέστορα δὲ ποιεῖ παρὰ τῇ θαλάσσῃ τῷ Ποσειδῶνι κεχαρισμένην τινα θυσίαν ἐπιτελοῦντα καὶ πολλοὺς ἔχοντα, τάδε παρακελευόμενον·

> ἀλλ' ἄγ' ὁ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω

καὶ τὰ ἑξῆς· καὶ Ἀλκίνους δὲ τοὺς τρυφερωτάτους ἑστιῶν Φαίακας καὶ τὸν Ὀδυσσέα ξενίζων ἐπιδεικνύμενος αὐτῷ τὴν τοῦ κήπου κατασκευὴν καὶ τῆς οἰκίας καὶ τὸν αὑτοῦ βίον, τοιαύτας παρατίθεται τραπέζας. καὶ τοὺς μνηστῆρας ὑβριστὰς ὄντας καὶ πρὸς ἡδονὰς ἀνειμένους, οὔτε ἰχθύας ἐσθίοντας ποιεῖ οὔτε ὄρνιθας οὔτε μελίπηκτα, περιελὼν παντὶ σθένει τὰς μαγειρικὰς μαγγανείας. ὅτι Ὅμηρος πηρὸς ὢν τὰς ὄψεις περιενόστει καὶ ἀφίκετο εἰς Γλαῦκον ποιμένα. ὁ δὲ πρὸς τὸν ἴδιον δεσπότην αὐτὸν ἤγαγεν. ὁ δὲ ἰδὼν αὐτὸν δεξιὸν καὶ πολλῶν ἔμπειρον πείθει αὐτὸν

82 βασιλεῦσιν ἐξαίλον $R^1$ παρατίθησιν . . . ἔμελλον om. $R^1$ 83 ἕξειν καὶ τὸ σῶμα $O^3$ αἴαντα οὖν Ath. 84 νώτοις $R^1$ τῷ om. $O^3$ Ath. τῶν ἴστορι γηραιῶν ὄντι $O^1$ 85 νέστορι δ' Ath. γηραιῷ ὄντι om. $O^3$ δ' ἤδη ὄντι γηραιῷ καὶ Φοίνικι Ath. βοὸς om. Ath. δίδωσι ἀφιστῶν ἡμᾶς τῶν ἀτάκτων ἐπιθυμιῶν Ath. καὶ Ἀλκίνους δὲ ὁ τὸν τρυφερὸν (-ώτατον $O^3$) ᾑρημένος βίον (haec et $O^3$) καὶ Μενέλαος δὲ τοὺς τῶν παίδων γάμους ποιῶν Τηλεμάχῳ (= δ 65, 66) Ath. 86 σπουδάζων . . . 91 ἀλκίνους δὲ om. $O^3$ Ath. 87 καὶ νέστωρ δὲ βοῦς θύει Ποσειδῶνι παρὰ τῇ θαλάττῃ διὰ τῶν φιλτάτων καὶ οἰκειοτάτων τέκνων βασιλεὺς ὢν καὶ πολλοὺς ἔχων ὑπηκόους· ὁσιωτέρα γὰρ αὕτη ἡ θυσία θεοῖς καὶ προσφιλεστέρα ἡ διὰ τῶν οἰκείων καὶ εὐνουστάτων ἀνδρῶν Ath. 90 ἀλλ' αἴ το μέν, $R^1$ 91 ἀλκίνοος E ss. ἑστιῶν φαίακας καὶ τὸν ὀδυσσέα post κατασκευὴν transp. Bm $O^3$ $P^4$ $R^2$ (καὶ τὸν ὀδυσσέα et καὶ τῆς οἰκίας καὶ τὸν αὑτοῦ βίον om. $O^3$) 92 αὐτοῖς Bm $O^3$ 93 κύπου $P^3$ 94 καὶ τοὺς ὑβριστὰς μνηστῆρας $O^3$: καὶ κυμνηστῆρασ $R^1$ καὶ om. $O^3$ καὶ τοὺς μνηστῆρας δὲ Ath. 96 περιελὼν . . . μαγγανείας om. $O^3$ 97 μαγκανείας E $O^1$ $P^2$ $P^3$ $R^1$ † περὶ ὁμήρου τοῦ ποιητοῦ † in versu $P^4$ $R^2$. ad sqq. cf. passim vit. Herod. 98 πονηρὸς E $O^1$ $O^3$ $P^1$ $P^3$: πονήρως ἔχων τὰς ὄψεις $P^2$. cf. Simon. Amorg. 7. 22 πρὸς $R^1$ 99 αὐτὸν ἤγαγεν] ἀπήγαγεν $O^3$

αὐτόθι μένειν καὶ τῶν παίδων ἐπιμέλειαν ποιεῖσθαι. ὁ δὲ ἔπρασσε ταῦτα καὶ τοὺς Κέρκωπας καὶ τὴν Μυοβατραχομαχίαν καὶ Ψαρομαχίαν καὶ Ἑπταπάκτιον καὶ Ἐπικιχλίδας καὶ ἄλλα ὅσα παίγνιά ἐστιν Ὁμήρου ἐποιήσε παρὰ τῷ Χίῳ ἐν Βολισσῷ. εἶτα ἀφίκετο εἰς Σάμον, καὶ εὗρε γυναῖκα Κουροτρόφῳ θύουσαν, καὶ λέγει τὰ ἔπη τάδε·

κλῦθί μοι εὐχομένῳ Κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων ἀπανήνασθαι φιλότητα καὶ εὐνήν,
ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν οὐραὶ μὲν ἀπήμβλυνται θυμὸς δὲ μενοινᾷ.

ἐπεὶ δὲ ἧκεν εἰς τὴν φρήτραν ἔνθα ἐδαίνυντο, πῦρ ἀνέκαυσαν. ὁ δ' Ὅμηρος εἶπεν·

ἀνδρὸς μὲν παῖδες στέφανος, πύργοι δὲ πόληος,
ἵπποι δ' ἐν πεδίῳ κόσμος, νῆες δὲ θαλάσσης,
χρήματα δ' αὔξει οἶκον· ἀτὰρ γεραροὶ βασιλῆες
ἥμενοι εἰν ἀγορῇ κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι,
αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι.

ὁ αὐτὸς Ὅμηρος μέλλων πλεῖν καὶ τῶν ναυτῶν δεξαμένων αὐτὸν ἐμβὰς εἰς τὴν ναῦν ἔφη τὰ ἔπη ταῦτα·

κλῦθι Ποσείδαον μεγαλοσθενές, ἐννοσίγαιε
εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ Ἑλικῶνος,
δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἀρέσθαι
ναύταις οἳ νηὸς πομποὶ ἠδ' ἀρχοὶ ἔασιν.

102 τοὺς om. $R^1$ κέκρωπας $P^3$ : κέρκοπας $P^2$ 104 ὁμήρῳ Bm E $O^1$ $P^1$ $P^2$ $P^3$ $R^1$ $R^2$ : ὁμήρου ἐστιν $O^3$ 105 ἐμβολισσῷ E F $O^1$ $O^3$ $P^1$ $P^2$ $P^3$ 106 καροτρόφον $P^3$ 107 καὶ κουροτρόφε $O^1$ 108 ἀπανήσασθαι E : μὲν ἀπανήνασθαι Bm $P^4$ $R^2$ : μὲν ἀνήνασθαι cet. : ἀπαρνήσασθαι $R^1$ 110 οὔρην, ss. αἱ $R^1$ ἀπήμβληνται $P^2$ μενηνᾶ E 111 φρύτραν $P^2$ πῦραν ἔκαυσαν $O^1$ : ἀνέκαυσεν $R^1$ 113 στέφανος Bm $O^3$ $P^4$ $V^2$ : στέφανοι cet. 114 δ' ἐν θαλάσσαις codd. (θαλάσση $V^2$) 115 δ' om. Bm E $O^3$ $P^1$ $P^2$ $P^3$ $P^4$ $R^1$ $R^2$ γερανοὶ $O^1$ 116 ἐν E $P^1$ $P^3$ : om. Bm $O^3$ $P^4$ $R^2$ 117 vers. om. $V^2$ γερανώτερος $O^1$ 118 ὅμηρος πλέ πλεῖν Bm καὶ τῶν . . . αὐτὸν om. $O^3$ 120 ποσειδάων E εἰνοσίγαιε $V^2$ 122 καὶ] ἠδὲ $V^2$ ἐπήμονα $O^1$ αἱρέσθαι $O^3$ 123 ναύταις ἢ $O^1$ : ἣ $O^3$ : νῶτ' ἢ $P^1$ (ἢ corr. in οἳ) $P^2$ $P^3$ : νῶτην E

δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο Μίμαντος
αἰδοίων μ' ἐλθόντα βροτῶν ὁσίων τε κυρῆσαι
φῶτά τε τισαίμην ὃς ἐμὸν νόον ἠπεροπεύσας
ὠδύσατο Ζῆνα ξένιον ξενίην τε τράπεζαν.

ὁ αὐτὸς ἐπιτυχὼν τισι μέλλουσι πλεῖν εἰς Χίον ἐδεῖτο αὐτῶν ἀναλαβεῖν αὐτόν. οἱ δὲ οὐκ ἐδέξαντο αὐτόν, καὶ λέγει τὰ ἔπη ταῦτα·

ναῦται ποντοπόροι στυγερῇ ἐναλίγκιοι αἴσῃ
πτωκάσιν αἰθυίῃσιν ἰὸν δύσζηλον ἔχοντες,
αἰδεῖσθε ξενίοιο Διὸς σέβας ὑψιμέδοντος·
δεινὴ γὰρ μετόπισθεν ὄπις ξενίου Διὸς ὅς κ' ἀλίτηται.

τῷ αὐτῷ ἀναπαυομένῳ τὴν νύκτα ὑπὸ πίτυν ἐπιπίπτει καρπός, ὃν μετεξέτεροι στρόβιλον, οἱ δὲ κῶνον καλοῦσι. καὶ λέγει τάδε·

ἄλλη τίς σου πεύκη ἀμείνονα καρπὸν ἀνήσοι
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης·
ἔνθα σίδηρος ἄριστος ἐπιχθονίοισι βροτοῖσιν
ἔσσεται εὖτ' ἄν μιν Κεβρήνιοι ἄνδρες ἔχωσιν.

ὁ αὐτὸς δειπνῶν μετὰ Γλαύκου καὶ τῶν κυνῶν ἑστώτων καὶ ὑλακτούντων καὶ δειπνησάντων λέγει τάδε·

Γλαῦκε βροτῶν ἐπιόπτα ἔπος τί σοι ἐν φρεσὶ θήσω·
πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσι

124 *δὸς δ' οἱ ὑπώρειαν* $O^1$ *ὑψικρήμνοις* $O^3$ 125 *αἰδοῖον* Bm $P^4$ $R^2$ *μετελθόντα* codd. *κηρῦσαι* $O^3$ 126 *λιτισαίμην* $O^3$ *ὑπεροπεύσας* E $P^2$: *ἠπεροπτεύσας* $O^3$ 127 *ὠδύσατο δὲ* Bm $P^4$ *ὠδύσατο ξενίοιο διὸς σέβας ὑψιμέδοντος* ex 133 E $P^1$ $P^2$ $P^3$ (*ξένιον* $P^2$ $P^3$) 128 *ὅτι ὁ αὐτὸς* $P^3$ *ὁ* om. E $O^1$ $P^1$ *ἐπιτυχόντι* $P^3$ *τισι*] *τι* $O^1$ $P^1$ (*σι* ss. m. rec.) *ἐδεῖτο αὐτὸν λαβεῖν*, om. *αὐτῶν* $O^3$ 128–133 om. $P^2$ 130 *τάδε τὰ ἔπη* $O^3$ : *τάδε* $R^1$ 131 *ποντιπόροι* $O^3$ *στυγεροὶ* E F $R^1$ 132 *πτωκᾶσιν* $O^1$ $P^1$ $P^3$ *αἰθύῃσιν* Bm $P^4$ 133 *αἰδεῖσθε* Bm $O^3$ $P^1$ $P^2$ $P^3$ $P^4$ $R^2$ : *-σθαι* cet. 134 *δεινὸς* $O^3$ *ὄπις ξενίου*, om. *Διός*, E (*ξενίων*) $O^1$ $P^1$ $P^2$ $P^3$ : *ξενίων* om. *διὸς* $R^1$ *μετόπισθε ξενίου διὸς* Bm $O^3$ $P^4$ $R^2$ 135 *ἀναπαυσαμένῳ* $O^3$ *κατὰ νύκτα* $O^3$ *ἐπιπίπτει αὐτῷ* Bm $P^4$ $R^2$ 136 *στόβιλον*, *ρ* add., $P^4$ : *στρόβϋλον* E $P^2$ *κόνον* $O^3$ 138 *ἀνίσοι* $O^3$ : *ἀνήσει* E 139 *κορυφοῖσι* $O^3$ 140 *ἄριστος* om. Bm $R^2$ 143 *λέγει τάδε* om. E $P^1$ $P^3$ : *φησὶ* $P^2$ 144 *βοτῶν* Küster *τί τοι* Bm $O^3$ $R^2$ *εν ἐν φρεσὶ* $O^3$ 145 *αὐλίῃσι* Bm $O^3$ $P^4$ $R^2$ : *-οίῃσι* $P^3$ : *-είοισι* cet.

δοῦναι· τῶς γὰρ ἄμεινον· ὁ γὰρ καὶ πρόσθεν ἀκούει
ἀνδρὸς ἐπερχομένου καὶ ἐς ἕρκεα θηρὸς ἰόντος.

ταῦτα ἀκούσας ὁ Γλαῦκος ἐθαύμασε. τὸν αὐτὸν ἰδόντες κεραμέες κάμινον ἐγκαίοντες κεράμου λεπτοῦ, προσεκαλέσαντο αὐτόν, πεπυσμένοι ὅτι σοφὸς εἴη· καὶ ἐκέλευον σφίσι ἀεῖσαι, φάμενοι δώσειν αὐτῷ τοῦ κεράμου. ὁ δ' Ὅμηρος ᾄδει αὐτοῖς τὰ ἔπη ταῦτα, ἃ καλεῖται κάμινος·

εἰ μὲν δώσετε μισθὸν ἀοιδῆς ὦ κεραμῆες
δεῦρ' ἄγ' Ἀθηναίη καὶ ὑπέρσχεθε χεῖρα καμίνου·
εὖ δὲ μαρανθεῖεν κότυλοι καὶ πάντα μάλευρα
φρυχθῆναί τε καλῶς καὶ τιμῇ ὄνειαρ ἑλέσθαι.
πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυιαῖς,
πολλὰ δὲ κερδῆναι· ἡμῖν δὲ δὴ ὥς σφιν ἀεῖσαι.
ἢν δ' ἐπ' ἀναιδείην στρεφθέντες ψεύδε' ἄρησθε
συγκαλέω δὴ ἔπειτα καμίνων δηλητῆρας
συντρίψαι, Σμάραγόν τε καὶ Ἄσβεστον ἠδὲ Σαβάκτην
Ὠμόδαμόν θ' ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζοι.
† στεῖλαι πυραίθουσαν καὶ δώματα· σὺν δὲ κάμινος
πᾶσα κυκηθείη κεραμέων μέγα κωκυσάντων.
ὡς γνάθος ἱππείη βρύκει βρύκοι δὲ κάμινος,
πάντ' ἔντοσθ' αὐτῆς κεραμήια λεπτὰ ποιοῦσα.

